Alia aũt fœminina. Et quidẽ masculinoꝝ tres terminatiõe sunt dis. communis ut pelides. on. Ionica. ut pelcon. adios ut hyrrhadius. Cum autem genitiuus nominis desinit in os uel in us uel in os. tunc in idis cõmuniter formatur patronymicum. Peleus pelei peleides & per synæresin pelides. Demosthenes demosthenis demosthenides. Agamẽnon agamẽnonis agamemnonides. Item si genitiuus desinit in u quartæ declinationis ens non penultimans iota in idis formatur patronymicum ut priamus priami priamides. Tantalus tantali tantalides. Si autem ipse penultimat iota in adis formatur patronymicum ut sol solis heliades. Item primæ declinationis in adis formant ut æneas æneæ æneades. hippotes hippotæ hippotades. Omne autem patronymicum desinit uel in iota: ut Saturnius uel e iota diphthongo ut pelides per synæresin. uel alpha ut æneades uel o iota diphthongo per synæresin ut panthoides panthœdes. Sed fœmininorum tres terminationes sunt. as. is. ni & quidem in as & in is a propriis masculinis formantur abiectione di: ut helias ab heliades. priamis a priamides. Sed in ni æolica ens a genitiuo formatur ut adrastine ab Adrasto. Acrisione ab acrisione.

Περὶ κτητικοῦ.

Κτητικὸν ὄνομά ἐστι τὸ κτῆσίν τινος πράγματος δηλοῦν. Καταλήξεις δὲ αὐτοῦ δύο. κος. οἷον μουσικὸς οὗ παραλήξεις τρεῖς. ι. οἷον μουσικός. α. οἷον κυπριακὸς. υ. οἷον θηλυκὸς, καὶ ος. οὗ παραλήξεις ἕξ. ι. οἷον λόγιος. ε. οἷον ἑκτόρεος. ει. οἷον ἡράκλειος. αι. οἷον ῥωμαῖος. οι. οἷον αἰδοῖος. ω. οἷον πατρῷος. Περὶ συγκριτικοῦ

Συγκριτικὸν ὄνομά ἐστι δι' οὗ σύγκρισις γίνεται πρὸς ὁμοφυεῖς καὶ ἑτεροφυεῖς. καταλήξεις δὲ αὐτοῦ δύο. ων. ἀνώμαλος. οἷον μείζων. βελτίων. καὶ τερος. κοινὸς οἷον πλουσιώτερος φρονιμώτερος σχηματίζεται δὲ ἀπὸ τῶν τριγενῶν ὀνομάτων. ὅσα τὴν τοῦ μᾶλλον ἐπίτασιν ἀναδέχονται. Ἀπὸ δὲ τῶν ληγόντων εἰς. ος. ἐκβολῇ τοῦ ς, καὶ προσθέσει τοῦ τερος σχηματίζονται. οἷον πρᾶος πραότερος παλαιὸς παλαιότερος, ὠφέλιμος ὠφελιμώτερος φρόνιμος φρονιμώτερος. Ἔτι ἀπὸ τοῦ οὐδετέρου τῶν εἰς. ης. διγενῶν. οἷον ἀληθὲς ἀληθέστερος ἀκριβὲς ἀκριβέστερος εὐτυχὲς εὐτυχέστερος. Ἔτι ἀπὸ τῶν εἰς ων καὶ εις. εἰς. καὶ εις. υς. οἷον σώφρων σῶφρον. σωφρονέστερος. χαρίεις χαρίεν χαριέστερος. εὔνους εὐνούστερος καὶ ἀπὸ μετοχῆς. οἷον ἐρρωμενέστερος. Ἔτι ἀπὸ τῶν εἰς υς μὴ φυλαττομένου τοῦ. σ. οἷον ἡδὺς ἡδύτερος ὀξὺς ὀξύτερος. βαρὺς βαρύτερος.

De Possessiuo.

Possessiuum nomen est possessionem alicuius rei signi-
ficans. Terminationes aũt ei⁹ duæ cos ut musicus. Cuius
terminationes tres iota ur musicus .alpha ut cyprianus
y psilon ut fœmininus. Et os .cui⁹ terminatiões sex iota ut e-
loquẽs e psilõ ut hectore⁹ e iota ut heracli⁹ alpha iota ut ro-
manus o iota ut uari⁹ o mega cum iota sub. ut paternus.

Cõparatiuũ nomẽ ẽ p quod cõparatio fit (De cõparatiuo.
ad eiusdem generis & diuersi generis terminationes aũt ipsi
us·on. Anomala ut maior melior. &
eros communis ut ditior prudentior
formať autem a trium generum nominibus. quæcunq;
magis intentionem suscipiunt. Ab autem
desinentibus in os abiectione sigma .& additione te-
ros formatur ut mansuetus mansuetior. Antiquus
antiquior. utilis utilior pru-
dens prudentior. Item a neutro eorum quæ
in is duumgenerum. ut uerum uerior diligens
diligentior. fortunatus fortunatior. Item ab in on
& in is & in us ut castus casti. Casti-
or gratiosus gratiosi gratiosior beniuolus beniuolentior.
& a participio ut robustior. Item ab in ys
non seruato sigma ut suauis suauior acutus acũ
tior grauis grauior,

Καὶ τὰ ἀπὸ ῥημάτων γινόμενα. οἷον φέρτερος. καὶ βέλτερος. καὶ τὰ ἀπὸ προθέσεων καὶ ἐπιρρημάτων, οἷον ὑπέρτερος, ἐσώτερος. Συντάσσονται δὲ γενικῇ. οἱ λόγοι Ἀχιλλεὺς ἦν ἀνδρειότερος τοῦ αἴαντος, καὶ ὁ αὐτὸς ἦν ἰσχυρότερος τῶν ζώων, καὶ τῇ δοτικῇ ὑπερβολὴν σημαίνουσιν. οἷον ὁ κροῖσος ἦν πλουσιώτερος κύρου ἑκατὸν ταλάντοις.

Περὶ ὑπερθετικοῦ.

Ὑπερθετικὸν ὀνομάζεσι, δι' οὗ ὑπέρθεσις γίνεται. καταλήξεις δὲ αὐτοῦ δύο. τατος, τοῦ εἰς τερος. συγκριτικοῦ ἀπὸ τοῦ ἂν τοῦ σχηματιζομένη. οἷον πρᾶος πραότερος. πραότατος, φρόνιμος φρονιμώτερος φρονιμώτατος, ἀκριβὲς ἀκριβέστερος ἀκριβέστατος. χαριέστατος, μονώτατος. ὑπέρτατος. ὀξύτατος. Καὶ εἰς. στος. τοῦ εἰς. ων. συγκριτικοῦ ἀνώμαλος. οἷον καλὸς καλλίων κάλλιστος. κακὸς κακίων ἢ χείρων κάκιστος, μέγας μείζων, μέγιστος. ἀγαθὸς βελτίων ἀρείων κρείττων, ἀμείνων, βέλτιστος ἄριστος κράτιστος. πολὺς πλείων πλεῖστος. ἡδὺς ἡδίων ἥδιστος. ταχὺς ταχίων τάχιστος. μικρὸς μείων καὶ ἥττων ἐλάττων ἐλάχιστος, ἐχθρὸς ἐχθίων ἔχθιστος αἰσχρὸς αἰσχίων αἴσχιστος. ῥάδιος ῥάων ῥᾷστος φίλος φίλτερος φίλτατος.

& a uerbis facta ut melior
& melior: & a præpositionibus & aduer-
biis ut superior, propior. Construun-
tur autem genitiuo ut Achilles erat fortior
Aiace & ipse erat robustior troianis. &
datiuo excessum significant ut Croe-
sus fuit ditiot cyro centũ talentis.

De Superlatiuo.

Superlatiuum nomen est per quod superlatio fit terminationes autem ipsius duæ tatos in teros comparatiui ab ipso formata.

ut mansuetus mansuetior mansuetissimus prudens prudentior prudentissimus. diligens diligentior diligentissimus. gratiosissimus. beniuolentissimus. supremus. acutissimus. & in stos in on comparatiui anomala. ut bonus melior optimus. malus peior uel peior pessimus. magnus maior maximus. bonus melior melior melior melior. optimus. optimus. optimus. multus. plurim9 iucũdus iucũdior iucũdissimus uelox uelocior uelocissimus. paruus minor uel minor minor minimus. Inimicus inimicior inimicissimus. turpis turpior turpissimus. facilis facilior facillimus. amicus amicior amicissimus.

Συντάσσονται δὲ τὰ ὑποθετικὰ γενικῇ. οἷον ὁ ὅμη-
ρος ἐγένετο σοφώτατος πάντων τῶν ποιητῶν. Ἔτι τὰ
διὰ τοῦ, οτερος. καὶ. οτατος, εἰ μὲν ἔχωσι τὴν πρὸ
τοῦ ο συλλαβὴν βραχεῖαν, διὰ τοῦ ω μεγάλου γρά-
φονται. οἷον φρόνιμος φρονιμώτερος φρονιμώτα-
τος. εἰ δὲ μακρὰν φύσει ἢ θέσει διὰ τοῦ ο μικροῦ.
οἷον πρᾶος πρᾳότερος πρᾳότατος. ἔνδοξος ἐνδοξό-
τερος ἐνδοξότατος.

Περὶ ὑποκοριστικοῦ.

Ὑποκοριστικὸν ὀνομάζεται τὸ μείωσιν τοῦ πρωτοτύ-
που δηλοῦν. Τούτων δὲ τὰ μὲν ἀρσενικά. τὰ δὲ θηλυκά.
τὰ δὲ οὐδέτερα ἀπὸ κυρίων καὶ προσηγορικῶν παραγό-
μενα. Καὶ τῶν μὲν ἀρσενικῶν καταλήξεις εἰσὶ πέν-
τε. ας. οἷον μηνᾶς. ων. οἷον μωρίων. αξ. οἷον λίθαξ.
σκος. οἷον ἀνθρωπίσκος. λος. οἷον ναυτίλος. Τῶν
δὲ θηλυκῶν δύο. ις. οἷον θεραπαινίς. καὶ σκη. οἷον
παιδίσκη. Τῶν δὲ οὐδετέρων παραλήξεις ὀκτὼ
εἰσί. ον ληγόντων. νι. οἷον ὀψώνιον. κι. οἷον. μειράκι-
ον. δρι, οἷον λογύδριον. λλι. οἷον μειρακύλλιον.
φι. οἷον ζωύφιον. χνι. οἷον πολίχνιον. πι οἷον ἀν-
θρώπιον. δι, οἷον κρεάδιον.

Περὶ παρωνύμου.

Παρώνυμον ὀνομάζεται τὸ ἀπὸ ὀνόματος παραγό-
μενον οἷον θέων ἀπὸ τοῦ θεός. ξύφων ἀπὸ τῆς ξυ-
φῆς, πλάτων ἀπὸ τοῦ πλατύς.

Conſtruuntur autem ſuperlatiua genitiuo ut Home-
rus fuit ſapientiſſimus omnium poetarum. Item quæ
per oteros & otatos. ſi quidem habeant ante
o micron ſyllabam breuem per o magnum ſcri-
buntur ut ſapiens ſapientior ſapientiſ-
ſimus ſi uero longã natura uel poſitione per o micron
ut manſuetus manſuetior manſuetiſſimus. glorioſus glo-
rioſior glorioſiſſimus. De Diminutiuo.

Diminutiuum nomen eſt diminutionem primi-
tiui ſignificãs. hꝰ ãt aliqua qdẽ maſculía. aliq̃ ãt fœminina-
aliqua autem neutra a propriis & appellatiuis dedu-
cta. Et quidem maſculinorum terminationes ſunt quin-
que as ut Menas on ut morion ax ut lapillus
ſcos ut homuncio. los ut nauta.
Sed fœmininorum duæ is ut ancillula & ſci ut
ancillula. Sed neutrorum terminationes octo
in on deſinentium ni ut obſonium ci ut adoleſcen
tulus dri ut ſermunculus lli ut adoleſcentulus
phi ut animalulum. chni ut ciuitacula. pi ut homul-
lulus di ut caruncula.

De Denominatiuo.

Denominatiuum nomen eſt a nomine dedu-
ctum ut Theon a deus Tryphon a deli
tiis Plato a latus.

Περὶ ῥηματικοῦ.

Ῥηματικὸν ὁμοίως τὸ ἀπὸ τοῦ ῥήματος παραγόμενον. οἷον νοήμων ἀπὸ τοῦ νενόημαι. καὶ φιλήμων ἀπὸ τοῦ πεφίλημαι.

Περὶ τῶν ὑποπεπτωκότων εἰδῶν τῷ ὀνόματι

Ἔτι τῶν ὀνομάτων. τὰ μὲν κύρια καλοῦνται. οἷον Σωκράτης Πλάτων, Τὰ δὲ προσηγορικὰ οἷον ὁ καὶ ἡ ἄνθρωπος ὁ καὶ ἡ παρθένος. Τὰ δὲ ἐπίθετα. οἷον ἀνδρεῖος. α. ον. σοφὸς. φὴ. φὸν. Τὰ δὲ πρός τι. οἷον πατὴρ. υἱὸς. δοῦλος. δεσπότης. Τὰ δὲ ὡς πρός τι. οἷον νὺξ ἡμέρα. θάνατος. ζωή. Τὰ δὲ ἐθνικά. οἷον Φρὺξ. πέρσης. Τὰ δὲ ἐρωτηματικά. οἷον. τίς. ποῖος. πόσος, πηλίκος. Τὰ δὲ ἀόριστα. οἷον ὅστις. ὁποῖος. ὁπόσος, Τὰ δὲ περιληπτικὰ οἷον δῆμος. χορὸς. ὄχλος. Τὰ δὲ ἐπιμεριζόμενα. οἷον ἕτερος ἑκάτερος, ἕκαστος ἄλλος. Μερίζονται δὲ ταῦτα τετραχῶς εἷς ἐκ δύο ὡς ἕτερος. Δύο καθ' ἕνα ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν. ὡς ἄλλος, καὶ πολλοὶ καθ' ἕνα ὡς ἕκαστος. Τὰ δὲ περιεκτικά. οἷον δαφνὼν, κοιτὼν ἐλαιὼν. Τὰ δὲ ὡς περιεκτικὰ οἷον ἀπατεὼν. κυκεὼν. Τὰ δὲ πεποιημένα οἷον φλοῖσβος. ῥοῖζος. Τὰ δὲ γενικά. οἷον ζῶον. φυτὸν Τὰ δὲ εἰδικά. οἷον βοῦς. ἵππος κύων. Τὰ δὲ τακτικὰ οἷον πρῶτος δεύτερος, Τὰ δὲ ἀριθμητικὰ οἷον εἷς. δύο τρεῖς.

De Verbali.

Verbale autem similiter a uerbo deriuatum ut intelligens ab intellectus sum & philemon ab amatus sum.

De Subiectis speciebus nomini.

Insuper nominum aliqua quidem propria uocantur ut Socrates. Plato. Alia autem appellatiua ut hic &hæc homo. hic & hæc uirgo. Alia autem adiectiua ut fortis. fortis forte. sapiens sapiens sapiens. Alia autem ad aliquid. ut pater filius. seruus dominus. Alia autem tanquam ad aliquid ut nox dies mors uita. Alia autem gentilia ut phryx perses. Alia autem interrogatiua ut quis: qualis: quantus: qualis. Aliqua autem infinita ut quisquis. quicunq;. quantuscunq;. Alia autẽ collectiua ut populus chorus turba. Alia autem partitiua ut alter. uterq;: quisq;. alius. partiuntur autem hæc quatrifariam. unus ex duobus ut alter. duo ad unum ut uterq;. unus ex multis ut alius. & multi ad unum ut quisq;. Alia autem contentiua ut Lauretum. Cubiculum. Oliuetũ. Alia autẽ. tanq̃ cõtentiua ut deceptor potio ex melle & uino. Alia autem factiua ut sonitus maris. stridor sibili. Alia autẽ generalia ut aial planta Alia autem specialia ut bos equus canis. Alia autẽ ordinalia ut primus secũdus Alia aũt numeralia ut un9 duo tres

Τὰ δὲ ἀπολελυμένα. οἷον θεός. λόγος ἄγγελος:
Τὰ δὲ μετουσιαστικά. οἷον πύρινος. λίθινος. δρύϊνος. Τὰ δὲ ὁμώνυμα. οἷον αἴας ὁ τοῦ τελαμῶνος. καὶ αἴας ὁ τοῦ ὀϊλέως. Τὰ δὲ συνώνυμα εἴτε πολυώνυμα. οἷον ἄορ. ξίφος. σπάθη. μάχαιρα. φάσγανον. Τὰ δὲ φερώνυμα. οἷον μεγαπένθης. Τὰ δὲ διώνυμα. οἷον ἀλέξανδρος ὁ καὶ πάρις. σκάμανδρος ὁ καὶ ξάνθος. Τὰ δὲ ἐπώνυμα. οἷον ἐνοσίχθων ὁ ποσειδῶν. καὶ φοῖβος ἀπόλλων.

Περὶ προσῳδιῶν.

Προσῳδία ἐστὶ τάσις ἐγγραμμάτου φωνῆς. ἢ τόνος πρὸς ὃν ᾄδομεν. Εἰσὶ δὲ προσῳδίαι δέκα ὡς εἴρηται καὶ διαιροῦνται εἰς τέσσαρα. Εἰς τόνους εἰς χρόνους. εἰς πνεύματα. καὶ εἰς πάθη. Τόνοι εἰσὶ τρεῖς. ὀξεῖα βαρεῖα καὶ περισπωμένη. οἷς χρώμεθα ἐπὶ ταῖς λέξεσι. πᾶσα γὰρ λέξις ἐπιδέχεται τόνον ἕνα· ἢ ἐν τῇ ληγούσῃ ἢ παραληγούσῃ ἢ προπαραληγούσῃ. ἐν μὲν οὖν τῇ ληγούσῃ ἐπιδέχεται ὀξεῖαν βαρεῖαν καὶ περισπωμένην. ὀξεῖαν ὅταν τὸ λεγόμενον ἢ ἀσυναίρετον. οἷον θεατής. ἀγαθός. Βαρεῖαν δὲ ὁμοίως ὡς ἐλαιῶν. δαφνῶν. καὶ μάλιστα ἐν τῇ συνεπείᾳ. πᾶσα γὰρ ὀνομαστικὴ καὶ αἰτιατικὴ ἀσυναίρετος καθ᾽ ἑαυτὴν ὀξύνεται ἐν δὲ τῇ συνεπείᾳ ἀντὶ τῆς ὀξείας βαρεῖαν ἐπιδέχεται.

Alia autem absoluta ut deus ratio angelus.
Alia autem consubstantialia ut igneus lapideus quernus. Alia autem homonyma ut aiax telamonis & aiax oilei. Alia uero synonyma siue multinomina ut ensis mucro spatha machæra gladius. Alia autem nominifera ut grandiluctus Alia autem binomina ut alexander qui & paris scamander qui & xanthus. Alia autem cognomina ut terræquassius neptunus. & phebus apollo.

De accentibus.

Accentus est extensio litteratæ uocis uel tenor ad quem cantamus. Sunt autem accentus decem ut dictum est & diuiduntur in quatuor in tonos in tempora in spiritus & in passiones. Toni sunt tres acutus grauis & circunflexus quibus utimur in dictionibus. omnis. n. dictio suscipit tonum unum uel in ultima uel penultima uel antepenultima in quidem ultima suscipit acutum: grauem & circunflexum. acutum quando suscipiens fuerit incontractum ut spectator bonus. grauem autem similiter ut oliuetum lauretum & maxime in consequentia omnis. n. nominatiuus & accusatiuus in contractus per se ipsum acuitur. in autem consequentia pro acuto grauem suscipit

περισπωμένην· ἢ ὅταν τὸ λεγόμενον ᾖ μακρὸν ἀ-
πὸ συναιρέσεως. οἷον ἀπὸ τοῦ φάος φῶς. καὶ ἀπὸ τοῦ Ξενο
φάων. Φῶν. πᾶσα γὰρ συναίρεσις ἐξ ὀξείας καὶ βαρείας
περισπωμένην ποιεῖ. Ἐν τῇ παραληγούσῃ δὲ
ὀξεῖαν καὶ περισπωμένην. ὀξεῖαν μὲν ὅταν ᾖ τὸ λε
γόμενον ᾖ βραχὺ ὡς λαχὴς λόγος. ἐπάνω γὰρ βρα
χέος περισπωμένη οὐ τίθεται. ἢ ὅταν τὸ λεγόμε
νον μακρὸν καὶ τὸ μετ' αὐτὸ μακρὸν ὡς αἰνείας
χρύσης. μακρὸν γὰρ πρὸ μακροῦ παροξύνεται. ἢ
Ὅταν ᾖ θέσει μακρὸν οἷον πέρσης. ἐπάνω γὰρ θέ
σει μακροῦ περισπωμένη οὐ τίθεται. Περι-
σπωμένη δὲ ὅταν τὸ λεγόμενον ᾖ φύσει μακρὸν καὶ
τὸ μετ' αὐτὸ βραχύ. οἷον μαῖα. γαῖα. μοῦσα. πᾶν
γὰρ φύσει μακρὸν πρὸ βραχέος κείμενον περισπᾶται.
Ἔτι καὶ εἰ ἀπὸ συναιρέσεως μακρὸν εἴη οἷον βοᾶται
ποιεῖται. Ἐν τῇ προπαραληγούσῃ δὲ ἀεὶ ὀξεῖαν
τίθεμεν. ὡς φιλόσοφος. φιλόκαλος. πρὸ δύο γὰρ
συλλαβῶν ἀεὶ ὀξεῖα τίθεται. Εἰς χρόνους μα
κρὰν καὶ βραχεῖαν οἷς ἐχρῶντο οἱ παλαιοὶ ἐπὶ
τοῖς διχρόνοις ὡς σημείοις δηλοῦντες τὸ μακρὸν
καὶ τὸ βραχύ. οἷον ἀκούω. ὀρίνω. ὀξύνω. ἄρης.
Εἰς πνεύματα δασεῖ καὶ ψιλῷ οἷς χρώμεθα ἐπὶ τῶν
φωνηέντων καὶ διφθόγγων. πᾶσα γὰρ λέξις ἀπὸ φω
νήεντος ἢ διφθόγγου ἀρχομένη ἢ ψιλοῦται ἢ δασύνεται.

Circunflexum autem cum suscipiens fuerit longum a contractione ut a lumen lumen & a xeno-
phoon xenophon. Omnis enim synæresis ex acuto & graui circunflexum facit. In penultima autem
acutum & circunflexum. acutum quidem cum su
scipiens fuerit breue ut laches sermo supra. n. bre-
uem circunflexus non ponitur. uel cum susci-
piens longum & post ipsum longum ut æneas
chryses. longa. n. ante longā acuitur. uel
cum fuerit positione longum ut perses. supra. n. po-
sitione longum circunflexus non ponitur. Cir-
cunflexus uero cum suscipiens fuerit natura longum &
post ipsum breue ut maia terra musa. omne
. n. natura longum ante breue positum circunflectitur.
Insuper & si contractione longum fit ut clamatur
fit. In antepenultima autem semper acutum
ponimus. ut philosophus philocalus. ante duas. n.
syllabas semper acutus ponitur. In tempora lon-
gum & breue quibus utebantur antiqui in
bitemporeis ut signis declarantes longum
& breue ut audio incito incito Ares.
In spiritus aspiratum & tenuem quibus utimur in
uocalibus & diphthōgis. Omnis. n. dictio a uo
cali uel diphthongo incipiens uel attenuatur uel aspiratur.

πότε ἢ τοῦτο γίνεται ἐν τῷ περὶ πνευμάτων βιβλίῳ τε-
ωργίου τοῦ χοιροβοσκοῦ ζητητέον. δασύνεται δὲ καὶ τὸ
ρ. ἐν ἀρχῇ λέξεως. οἷον ῥήτωρ. ῥητορική. δυοῖν ῥ ὄν-
τοιν ὅπου ἂν τύχωσι τὸ πρῶτον ψιλοῦται καὶ τὸ δεύτερον
δασύνεται κατὰ τοὺς παλαιούς. οἷον ἄρρητος. ἄρρωστος.
Εἰς πάθη ἀποστροφὴν. ὑφὲν. καὶ ὑποδιαστολήν. χρώ-
μεθα δὲ τῇ ἀποστρόφῳ ἐν τοῖς πάθεσι τῶν λέξεων ἐν τέ-
λει ἑπομένου φωνήεντος ἀντὶ τεσσάρων γραμμάτων.
ἀντὶ βραχέος. α. οἷον ἄρ' οὖν ἀντὶ ἄρα οὖν. ἀντὶ. ε.
οἷον φέρ' εἰπὲ ἀντὶ φέρε εἰπέ. ἀντὶ. ο. οἷον τοῦτ' ἐμὸν ἀντὶ
τοῦτο ἐμόν. ἀντὶ βραχέος ι. οἷον ἐπ' ἀκταῖς ἀντὶ ἐπὶ ἀ-
κταῖς. οἱ ποιηταὶ δὲ καὶ ἀντὶ αι καὶ οι διφθόγγου ταύτῃ
χρῶνται. οἷον βούλομ' ἐγώ. καὶ οἴμ' ὡς ἄχθομαι. Τῇ δὲ ὑφὲν χρώ-
μεθα ἐν συναφείᾳ δυοῖν λέξεων φύσει διῃρημέ-
νων καὶ ἐν τοῖς συνθέτοις ὀνόμασιν οἷον τὴν ἀρχήν. το-
πρῶτον. φιλόσοφος. φιλόδωρος. Τῇ ὑποδιαστο-
λῇ δὲ χρώμεθα ἐν ταῖς διαστολαῖς τῶν συνημμένων
λέξεων. οἷον ὅτι. τότε. καὶ ἐν ταῖς ἐρωτήσεσι μετὰ
στιγμῆς. οἷον σὺ ταῦτα λέγεις; Περὶ στιγμῆς.
Στιγμή ἐστι διανοίας τελείας σημεῖον. Διαιρεῖ-
ται δὲ εἰς τελείαν στιγμήν. μέσην. καὶ ὑποστιγμήν
τελεία στιγμή ἐστιν ὅτε ἡ διάνοια τελεία ὑπάρχει
μέση ὅτε ἡ διάνοια μεσάζουσα ἢ ἀτελής. ὑπο-
στιγμὴ ὅτε κρεμασμένη καὶ ζητεῖ τὸ ἐπίλοιπον.

Quomodo autem hoc fit in de ſpiritibus libro Georgii cheroboſchi quærendum. aſpiratur autem & rho in principio dictiõis ut rhetor. rhetorice duobus aũt entibus ubicunq; fuerint primum attenuatur & ſecundum aſpiratur ſecundum ueteres ut arcanus ægrotus.

In paſſiones. auerſionem. ſubunionẽ. ſubdiſtinctionẽ. utimur autem auerſione in paſſionibus dictionum in fine ſequente uocali pro quatuor litteris.

pro breui alpha ut utiq; hic pro utiq; hic. pro e pſilo ut age dic pro age dic. pro o micro ut hoc meum pro hoc meum. pro breui iota ut in littoribus pro in littoribus. Poetæ aũt ꝓ alpha iota & o iota diphthõgo hac utuntur ut uolo ego & heu quã triſtor. ſubunione aũt utimur in coniunctione duarum dictionum natura diuiſarum. & in compoſitis nominibus ut ab initio primum philoſophus. philodorus. Subdiſtinctione autem utimur in diſtinctionibus coniunctarum dictionum ut quodcunq; quodq; & in interrogationibus cũ puncto ut tu hæc dicis?

De puncto.

Punctum eſt ſententiæ perfectæ ſignum. Diuiditur autem in perfectum punctum. medium & ſuppũctũ. Perfectum pũnctum eſt quando ſententia pefecta eſt Medium cum ſententia medians & imperfecta. Suppunctum cum pendens & quærit reliquum.

Περὶ τόπων τῶν τόνων.

Τόποι τῆς ὀξείας τρεῖς· ἡ λήγουσα. παραλήγουσα
καὶ προπαραλήγουσα. τὸ ἔχον τὴν ὀξεῖαν ἐπὶ τῆς
ληγούσης καλεῖται ὀξύτονον· οἷον θεατής. τὸ ἔχον
ἐπὶ τῆς παραληγούσης παροξύτονον καὶ βαρύ
τονον. οἷον αἴας. τὸ ἔχον ἐπὶ τῆς προπαραληγούσης
προπαροξύτονον καὶ βαρύτονον. οἷον Φιλόδημος.
Τόπος τῆς βαρείας εἷς ἡ λήγουσα, καὶ πᾶσα δὲ λέ
ξις αὐτὴν δεχομένη, καθ' ὁμαλισμὸν ἀναγινώ-
σκεται. ἔστι δὲ τόνος συλλαβικῶς καὶ οὐ κυρίως.
Τόποι τῆς περισπωμένης δύο ἡ λήγουσα καὶ παρα
λήγουσα. τὸ ἔχον τὴν περισπωμένην ἐπὶ τῆς λη-
γούσης καλεῖται περισπώμενον. οἷον δημοφῶν.
τὸ ἔχον ἐπὶ τῆς παραληγούσης προπερισπώμενον
οἷον δῆμος κῆπος. ἀλλὰ περὶ μὲν τούτων ἅλις.
νῦν δὲ περὶ τῆς συντάξεως τῶν προθέσεων λέγωμεν.
ἀναγκαίας οὔσης τοῖς εἰσαγωγικοῖς.
περὶ τῶν προθέσεων τίσι πτώσεσι συντάσσονται
καὶ τί σημαίνουσι. Περὶ μονοσυλλάβων. Ἐν.
Ἡ ἐν ἀεὶ δοτικῇ συντάσσεται τὸ ἔν τινι δηλοῦσα.
οἷον ἐν οἴκῳ. ἐν ἀγρῷ. ἀττικῶς δὲ καὶ γενικῇ κατ' ἔλ
λειψιν τῆς δοτικῆς. οἷον ἐν ἅδου ἀντὶ ἐν τῷ τόπῳ
τοῦ ἅδου. παρὰ ποιηταῖς δὲ λέγεται ἐνὶ καὶ εἰν.
τὸ δὲ ἔνι δύναμιν τοῦ ἐστιν ἔχει.

De Locis tonorum.
Loci acuti tres ultima penultima
& antepenultima.habens acutum in
ultima uocatur Acutitonũ & grauitonũ ut ſpectator. habẽs
in penultima. penacutitonum & graui-
tonum ut aiax.habens in antepenultima
antepenacutitonũ & grauitonum ut Philodemus
Locus grauis unus ultima.& omnis autem di-
ctio ipſum ſuſcipiens ſecundum æqualitatem legi-
tur. Eſt autem tonus ſyllabice & non proprie.
Loci circunflexi duo ultima & penulti-
ma habens circunflexum in ul-
tima uocatur anflexum ut Demophon.
habens in penultima antanflexum
& grauitonum ut populus hortus.Sed de quidẽ tonis ſatis
nunc autem de conſtructione præpoſitionum dicamus
neceſſaria ente introducendis.
De præpoſitionibus quibus caſibus conſtruuntur
& quid ſignificant.De monoſyllabis.
In ſemper datiuo conſtruitur in quodam declarans
ut in domo. in agro.attice autem & genitiuo per defe-
ctum datiui ut in inferni pro in loco
inferni.apud poetas autem dicitur in & in
Sed in uim eſt habet.

Ἡ εἰς· ἥτις ἀττικῶς ἐς λέγεται. αἰτιατικῇ συντάσσεται εἰς ναὸν εἰς ἀγοράν. ἀττικῶς δὲ καὶ γενικῇ κατ᾽ ἔλλειψιν τῆς αἰτιατικῆς, οἷον εἰς διδασκάλου ἀντὶ εἰς τὴν οἰκίαν τοῦ διδασκάλου. χρώμεθα δὲ ταύτῃ ἐπὶ ἀψύχων. οἷ πορευόμεθα εἰς ἀγοράν.

Ἡ ἐξ, ἥτις καὶ ἐκ λέγεται, ἀεὶ γενικῇ συντάσσεται· οἷον ἐξ ἀγορᾶς, ἐκ τοῦ βουλευτηρίου. ἔχει δὲ τὸ ξ ἑπομένου φωνήεντος. τὸ κ δὲ ἑπομένου συμφώνου.

Ἡ σὺν ἥτις καὶ ξὺν ἀττικῶς λέγεται, δοτικῇ μόνῃ συντάσσεται· ὁμόνοιαν σημαίνουσα οἷον σὺν θεῷ, σὺν τῷ ἰωάννῃ.

Ἡ πρὸς· γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ ὅτ᾽ ἂν τὴν ἀπὸ προσώπου σημαίνῃ κίνησιν· οἷον πρὸς θεοῦ τἀγαθὰ ἀντὶ παρά. ἢ ὅτε ἐπὶ ὅρκου κεῖται. οἷον ποίησον πρὸς θεοῦ, ἢ τὸ ἐνώπιον δηλοῖ. οἷον πρός τε θεῶν μακάρων πρός τε θνητῶν ἀνθρώπων. ἢ τὸ καθῆκον. οἷον οὐ πρὸς ἰατροῦ σοφοῦ. δοτικῇ δὲ ὅτε τὸ πλησίον. οἷον πρὸς τοῖς ποσὶ πρὸς τῷδε. αἰτιατικῇ δὲ ὅταν κίνησιν πρός τι ἔμψυχον ὡς ἐπὶ τὸ πλεῖστον σημαίνῃ οἷον πρὸς τὸν ἰωάννην. ἢ ἕνωσιν. ὡς πρὸς τὸν θεόν. ἀντὶ μετὰ θεοῦ. ἢ λόγον τινά ὡς τὰ δύο πρὸς τὰ τέσσαρα οὕτω τὰ τέσσαρα πρὸς τὰ ὀκτώ ἢ παράδειγμα, οἷον πρὸς αὐλὸν ᾄδει.

In quæ attice in dicitur accusatiuo con-
struit' in templum in forum. attice autem &
genitiuo per defectum accusatiui ut in ma-
gistri pro in domum magistri. uti-
mur autem hac in inanimatis ut eo in forum.
Ex quæ & ec dicitur semper genitiuo construitur
ut ex foro ex senatu. habet autem xi
sequente uocali: cappa uero sequente consonante.
Cum quæ & cum attice dicitur datiuo so-
li construitur. consensum significans ut cum
Deo cum Ioanne.
Ad genitiuo & datiuo & accusatiuo construi-
tur. genitiuo quando a persona significet mo-
tum ut a deo bona. pro a uel quando In
iuramento ponitur ut fac amore dei: uel co-
ram significat. ut coramq; deis immortalibus coramq; mor-
talibus hominibus. uel officium ut non est officium medici
sapientis. datiuo autem quando prope ut prope pe-
des. ad hoc. Accusatiuo uero quando motum ad aliquod
animatum ut plurimum significet ut ad
Ioannem uel unionem ut cum deo pro cum
deo uel rationem quandam ut duo ad qua-
tuor. sic quatuor ad octo. uel exem-
plum ut ad tibiam canit.

Ἡ πρὸ, ἀεὶ γενικῇ συντάσσεται τόπον καὶ χρόνον σημαίνουσα. οἷον πρὸ τῆς θύρας. πρὸ τοῦ περσικοῦ πολέμου ἐγένετο ὁ ξωϊκός.

Περὶ δισυλλάβων.

Ἡ ἀνὰ, τῇ αἰτιατικῇ κοινῶς συντάσσεται. οἷον ἀνὰ τὴν ὁδόν. ἀνὰ τὸ στρατόπεδον. ἀνὰ τὴν πόλιν, ἀντὶ ἐπὶ τῆς ὁδοῦ. διὰ τοῦ στρατοπέδου εἰς τὴν πόλιν. τὸ δὲ χρυσέῳ ἀνὰ σκήπτρῳ ποιητικῶς ἀντὶ σύν.

Ἡ κατὰ, γενικῇ καὶ αἰτιατικῇ συντάσσεται γενικῇ μὲν ὅταν ἐπιφορὰν ἢ κατηγορίαν σημαίνῃ. οἷον ὁ ἄθεος νεστόριος κατὰ πάντων τῶν ἀγαθῶν καὶ σοφῶν καὶ λέγει καὶ γράφει. ἢ τὸ ἐπάνω καὶ πέρτι, οἷον κατὰ γῆς κάθημαι. τὸ δὲ κατ' οὐλύμποιο καρήνων χωόμενος ἀντὶ ἀπό. αἰτιατικῇ δὲ ὅτε ὁμοιότητα. οἷον κατὰ δημοσθένην γράφει. καθ' ὅμηρον. ἢ χρόνον. οἷον καθ' ἡμᾶς ἐγένετο ἀνὴρ σοφός. ἢ κίνησιν. ὡς κατὰ νῆας ἀχαιῶν.

Ἡ διὰ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται γενικῇ μὲν ἐνέργειαν ἢ τὸ μέσον σημαίνουσα ὡς διὰ σοῦ τοῦτο γένοιτο. διὰ τῆς ἀγορᾶς ἐβάδιζεν. αἰτιατικῇ δὲ αἰτίαν. οἷον διὰ τὰ χρήματα πάντα γίνονται. καὶ τὸ μέσον σπανίως ὡς διὰ τ' ἔντεα καὶ μέλαν αἷμα.

Ἡ μετὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται.

Ante ſemper genitiuo conſtruitur locum & tempus ſignificans ut ante ianuam: ante perſicum bellum fuit troianum.

De Diſyllabis.

Per Accuſatiuo communiter conſtruitur ut per uiam per exercitum per ciuitatem pro in uia per exercitum in ciuitatem. Sed auro cum ſceptro. poeticum: pro cum.

Secundum genitiuo & accuſatiuo conſtruitur. genitiuo quidem cum inuectionem & accuſationem ſignificet ut ſacrilegus neſtorius contra omnes bonos & ſapientes & dicit & ſcribit uel ſuper & circa quid ut ſuper terra ſedeo ſed ab olympi cacuminibus iratus pro ab. accuſatiuo autem cum ſimilitudinem ut ſecundum Demoſthenē ſcribit ſecundū Homerū uel tēpus: ut noſtro tēpore fuit homo ſapiens uel motum ut ſecūdum naues achiuorū

Per genitiuo & accuſatiuo conſtruitur genitiuo quidem actionem uel medium ſignificans: ut per te hoc fiat. per forum ibat. accuſatiuo autem ut propter pecunias omnia fiunt & medium raro ut perq; arma & nigrum ſanguinem.

Cum genitiuo & datiuo & accuſatiuo conſtruitur.

γενικῇ μὲν ὅτε ἕνωσιν δηλοῖ. ὡς μετὰ σοῦ. δοτικῇ
δὲ τὸ αὐτὸ ποιητικῶς. οἷον μετὰ τριτάτοισιν ἄνασ-
σε. αἰτιατικῇ δὲ ὅτε τὸ ὕστερον. οἷον μετὰ σὲ ἐγὼ ἦλθον.
Ἡ παρὰ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσ-
σεται. καὶ γενικῇ μὲν ὅτε τὴν ἀπό τινος κίνησιν δηλοῖ.
οἷον παρὰ τοῦ βασιλέως ἡ δικαιοσύνη. δοτικῇ
δὲ ὅτε τὸ πλησίον μετ᾽ ἐμψύχου. οἷον παρὰ τῷ βα-
σιλεῖ κάθηται. παρὰ σοὶ διατρίβω. αἰτιατικῇ
δὲ ὅτε ἢ τὸ ἐγγὺς μετὰ ἀψύχου. ὡς παρὰ τὴν θά-
λατταν. ἢ κίνησιν ἐπί τι. οἷον παρὰ σὲ ἔρχομαι.
ἢ τὸ διὰ τί. ὡς παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία. ἢ τὸ
ἔξω. οἷον παρὰ τὸ δίκαιον πράττει. καὶ παρὰ
γνώμην συμβαίνει.
Ἡ ἀντὶ γενικῇ συντάσσεται. ἀντὶ σοῦ. ἀντὶ ἐκεί-
νου. ἀντὶ πολλῶν. ἐν τῇ συνθέσει δὲ ποτὲ μὲν τὸ
ἴσον σημαίνει. ὡς ἀντίθεον πολύφημον. ἀντὶ ἰ-
σόθεον. ποτὲ δὲ τοὐναντίον. ὡς ἀντίχριστος. καὶ ἀν-
τίθεον δόγμα τὸ ἐναντίον τῷ θεῷ.
Ἡ ἐπὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσ-
σεται. γενικῇ μὲν ὅτε τὸ ἐπάνω δηλοῖ. οἷον τὰ ζῶα
ἐπὶ γῆς. ἢ χρόνον. οἷον ἐπὶ ἄρχοντος πυθοκλέους.
ἢ τὸ περί τι καὶ ἔν τινι. οἷον ἐπὶ πολλῶν. ἢ κίνησιν
ἀττικῶς. οἷον ἐπὶ τῆς χώρας. δοτικῇ δὲ ὅτε αἰτί-
αν. οἷον ἐπ᾽ ἀγαθῷ ἐδημηγόρει.

genitiuo quidem quum unionem ſignificat: ut tecū datiuo
autem idem poetice. ut cum tertiis regna
bat accuſatiuo autem quum poſtea. ut poſt te ego ueni.
Apud genitiuo & datiuo & accuſatiuo conſtru-
itur & genitiuo quidem quum ab aliquo motum ſignificat
ut apud regem iuſtitia. datiuo
autem cum iuxta cum animato ut apud re
gem ſedet. apud te uerſor. accuſatiuo
autem quum uel prope cum inanimato. ut apud ma
re. uel motum ad aliquid ut apud te uenio
uel propter quid. ut apud iniuriari ultio uel
extra. ut apud Iuſtum facit: & apud
ſententiam contingit.
Pro genitiuo conſtruitur pro te pro illo
pro multis. In compoſitione autem interdum quidem
æquum ſignificat. ut æquideum polyphemum pro æ-
quideum. Interdum autem cōtrarium ut antichriſtus & cō-
tra deum ſententia contraria deo.
In genitiuo & datiuo & accuſatiuo conſtru-
itur. genitiuo quidem quum ſupra ſignificat. ut animalia
in terra. uel tempus. ut in principe pythocle
uel circa quid & in aliquo. ut in multorum. uel motum
attice. ut in regione. Datiuo autem cum cau
ſam. ut in bono contionabatur

ἢ τὸ ἐπάνω. οἷον ἐπὶ ξόπιδι ἡ ναῦς. ἢ τὸ ὕστερον. ὡς ἐπὶ τούτοις καὶ ἕτερα διηγεῖτο. ἢ αὐτεξουσιότητα τινά. ὡς ἐπὶ τῷ ἀρχιερεῖ τὰ τῆς ἐκκλησίας πράγματα. ἢ ἐπιβουλήν. οἷον ἐπὶ τῷ δήμῳ ἀντὶ κατὰ τοῦ δήμου. αἰτιατικῇ δὲ ὅτε κίνησιν δηλοῖ. οἷον ἐπὶ τὴν ἀττικὴν ἐπορεύετο. ἢ δόλον. οἷον ἐφ᾽ ἡμᾶς ὥρμησεν.

Ἡ περὶ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ὅτε τὸ αἴτιον δηλοῖ. οἷον μάχομαι περὶ σοῦ. δοτικῇ δὲ σχεδὸν τὸ αὐτὸ ποιητικῶς. οἷον δέδοικα περὶ ξανθῷ μενελάῳ. ἔτι καὶ τὸ ἐρώησε περὶ δουρὶ ἀντὶ ἐν. καὶ περὶ πύργῳ. ἀντὶ κύκλῳ. αἰτιατικῇ δὲ ὅτε τὸ κύκλῳ καὶ περὶ ποιητικὸν καὶ συστατικόν. οἷον περὶ τὴν πόλιν τὸ στράτευμα. τί τὸ περὶ ἐμὲ πρᾶγμα.

Ἡ ἀμφὶ ὁμοιόσημος καὶ ὁμοιοσύντακτός ἐστι τῇ περί. συνηθεστέρα μέντοι ἡ περί. πολλάκις δὲ παρὰ ποιηταῖς ὁμοῦ κεῖνται. ὡς ἕκτωρ δ᾽ ἀμφὶ περιστρωφᾷ καλλίτριχας ἵππους.

Ἡ ἀπὸ ἀεὶ τῇ γενικῇ συντάσσεται. τὴν ἀπὸ τόπου κίνησιν σημαίνουσα. οἷον ἀπὸ τῆς πόλεως. ἀπὸ τοῦ δικαίου.

Ἡ ὑπὸ γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ὅτε ἢ τὸ αἴτιον σημαίνει. οἷον ὑπὸ νόσου οὐ περιπατεῖ. ἢ τὸ ὑποκάτω. οἷον ὑφ᾽ εἵματος.

uel ſupra ut in carina nauis, uel poſt ut
in his & alia narrabat, uel qualita
tem quandam ut in pontifice eccleſi
æ negocia uel inſidias ut in populo pro
contra populum. Accuſatiuo autem quando motum ſi-
gnificat ut ad atticam ibat, uel dolum ut
in nos impetum fecit.
De genitiuo & datiuo & accuſatiuo con
ſtruitur. Genitiuo quidem quando cauſam ſignificat ut pu-
gno pro te. datiuo autem quaſi idem poetice
ut timui de flauo menelao. Etiam & flu-
et de haſta pro in. & de turri pro cir
ca. Accuſatiuo autem quando circum & circa poeti
cum & congregatiuum ut circum ciuitatem exer
citus. quid ad me negocium?
Circum idem ſignificans & ſimiliter conſtructa eſt huic
de. Vſitatior quidem. de ſæpe autem a
pud poetas ſimul ponuntur ut Hector autem circũuer
tebat pulchripilos equos.
Ab ſemper genitiuo conſtruitur a loco mo
tum ſignificans ut ab urbe a iuſto.
Sub genitiuo & datiuo & accuſatiuo conſtruitur
genitiuo quidem cum uel cauſam ſignificat ut pp morbũ
non ambulat, uel ſub ut ſub ueſte.

δοτικῇ δὲ καὶ αἰτιατικῇ τὸ αὐτό· οἷον ὑπὸ δένδρῳ καὶ ὑπὸ δένδρον. καὶ ὁ στρατιώτης ὑπὸ τὸν στρατηγόν. Ὑπέρ·

Ἡ ὑπὲρ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται. γενικῇ μὲν ὅτε ἢ βοήθειαν σημαίνει. οἷον ὑπὲρ κτησιφῶντος ὁ λόγος. ἢ αἰτίαν οἷον ὑπὲρ ὧν ἔλεξα πάλιν λέξω. ἢ τὸ ἐπάνω οἷον ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον. αἰτιατικῇ δὲ ὅτε τὸ πλέον ἢ ἐπέκεινα δηλοῖ. οἷον ὑπὲρ ἄνθρωπον φρονεῖ. ὑπὲρ τὴν θράκην ἡ μακεδονία. Παρέπονται δὲ ταῖς προθέσεσι πέντε. τὸ ὀξύνεσθαι, τὸ βραχυκαταληκτεῖν· πλὴν τῆς εἰς καὶ ἐξ. τὸ μέχρι τῆς δισυλλαβίας αὔξεσθαι. τὸ διὰ ψιλοῦ συμφώνου ἐκφέρεσθαι. πλὴν τῆς ἀμφί. τὸ ψιλοῦσθαι. πλὴν τῆς ὑπὸ καὶ ὑπὲρ· τὸ γὰρ. υ. προηγούμενον τῆς λέξεως δασύνεται.

Ἔστι δὲ καὶ πολλὰ ἐπιρρήματα γενικῇ συντασσόμενα. οἷον ἔξω. χωρίς. ἄνευ. πλήν. ἄλις. ἔνδον εἴσω. τὰ δὲ ἀθροιστικὰ δοτικῇ. τὰ δὲ θετικὰ δοτικῇ καὶ αἰτιατικῇ. καὶ ταῖς δυσὶ πτώσεσι τὰ αὐτῶν συντάσσονται ῥήματα. τὸ δὲ μὰ καὶ νὴ αἰτιατικῇ. καὶ τὸ μὲν μὰ ὡς τὰ πολλὰ ἀποφάσκει. τὸ δὲ νὴ καταφάσκει. καὶ

Ταῦτα μὲν τοῖς εἰσαγωγικοῖς ἱκανὰ ὡς ἐν ἐπιτομῆς εἴδει. ἐν δὲ τῷ δευτέρῳ διεξοδικώτατα περὶ ὀνόματος καὶ ῥήματος διαληψόμεθα

Τέλος τῆς ἐπιτομῆς.

datiuo autem & accusatiuo idem ut sub arbore & sub arborẽ. & miles sub imperatorem.

Super.

Super genitiuo & accusatiuo construitur. genitiuo quidem cum uel auxilium significat ut super Ctesiphonte oratio. uel causam ut super quibus dixi iterum dicam. uel supra ut supra fumũ ponit clauum. Accusatiuo autem quãdo plus uel ulterius significat ut supra hominem sapit super thracen macedonia. Accidunt autem præpositionibus quinq;. acui. breuiter desinere. præter in et ex. usq; duas syllabas augeri. per lenem consonantem proferri præter circum. non attenuari præter sub & super. Nam y psilon præcedens dictionem aspiratur. Sunt autem & multa aduerbia genitiuo constructa ut extra sine sine. præter satis intus intro Sed congregatiua datiuo. sed positiua datiuo & accusatiuo. & quibuscunq; casibus eorum construuntur uerba. sed per & per accusatiuo. & quidem per ut plurimum negat. sed per affirmat & hæc quidem introducendis satis ut in compendii specie. Sed in secundo latius de nomine & uerbo tractabimus.

Finis compendii.

ΠΕΡῚ ΓΑΘΩ͂Ν ΤΩ͂Ν ΛΈΞΕΩΝ ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΓΡΑΜΜΑΤΙΚΟΥ͂ ΤΡΎΦΩΝΟΣ.

ΤᾺ ΤΩ͂Ν ΛΈξεων πάθη εἰς δύο γενικώτατα δι-
αιροῦνται ποσόν τε καὶ ποιόν. καὶ τοῦ μὲν ποσοῦ εἴ-
δη ἔνδεια καὶ πλεονασμός. τοῦ δὲ ποιοῦ μετάθεσις
καὶ μετάληψις. ἀμφοτέρων δὲ ὁμοῦ συνελθόντων
τμῆσις γίνεται. ἔστι δὲ ὡς ἐν κεφαλαίῳ εἰπεῖν
πάθη πέντε. πλεονασμός. ἔνδεια. μετάθεσις. με-
τάληψις. τμῆσις.

Γλεονασμός.

Γλεονασμὸς μὲν οὖν ἐστι περιττότης χρόνων ἢ
χρόνου στοιχείων ἢ στοιχείου.

Ἔνδεια.

Ἔνδεια δὲ τοὐναντίον χρόνου ἢ χρόνων στοιχείου ἢ
στοιχείων ἐλάττωσις.

Μετάθεσις.

Μετάθεσις δέ ἐστι στοιχείου μετακίνησις ἐκ τῆς
ἰδίας τάξεως εἰς ἑτέρας τάξεως. οἷον δαρτὰ ἀν-
τὶ δρατά. κραδία ἀντὶ καρδία. κάρτος ἀντὶ
κράτος. καλεῖται δὲ καὶ ἐναλλαξις καὶ ὑπέρθεσις.

Μετάληψις.

Μετάληψις δέ ἐστι στοιχείου μετακίνησις. οἷον ἢ
πεδανὸς ἀντὶ ἀπεδανός. αἱμηπότης ἀντὶ αἱμο-
πότης.

Τμῆσις

Τμῆσις δέ ἐστι συνθέτου λόγου ἀνάλυσις εἰς δύο λέ-
ξεις. οἷον ἄκρα πόλις ἀντὶ ἀκρόπολις.

Τούτων δὲ τῶν πέντε παθῶν τὰ μὲν εἰς εἴδη τέμνεται

DE PASSIONIBVS DICTIONVM EX GRAMMATICI TRYPHONIS

Dictionũ paſſiones in duo generaliſſima diuiduntur quantitatemq; & qualitatẽ & quidẽ quãtitatis ſpecies. defectus & ſuperabundãtia. Sed qualitatis tranſpoſitio Ambobus autem ſimul conuenientibus ſectio fit. Sunt autem ut ſummatim dicam Paſſiones quinq;. Superabũdantia: defectus trãſpoſitio trãſſumptio. ſectio.

Superabundantia

Superabundantia quidem igitur eſt ſupfluitas tẽporum uel temporis elementorum uel elementi.

Defectus.

Defectus autem contra temporis uel temporum elemẽti uel elementorum diminutio.

Tranſpoſitio.

Tranſpoſitio autem eſt elementi mutatio ex proprio ordine ad alterius ordinis ut facta pro facta & cor pro cor fortitudo pro fortitudo uocatur autem & immutatio & ſuperpoſitio

Tranſſumptio.

Tranſſumptio autem eſt elementi mutatio ut debilis pro debilis ſanguipotor pro ſanguipotor.

Sectio.

Sectio autem eſt compoſiti ſermonis reſolutio in duas dictiones ut alta ciuitas pro alticiuitas

harum autem quinq; paſſionum aliquæ in ſpecies ſecantur

Ὅτε πλεονασμὸς καὶ ἡ ἔνδεια. τὰ δὲ λοιπὰ εἰσὶν ἄτμητα. Τοῦ δὲ πλεονασμοῦ εἴδη εἰσὶν ἐννέα. Πρόθεσις. Ἀναδίπλωσις. Ἔκτασις. Ἐπέκτασις. Διαίρεσις. Παρένθεσις. Διπλασιασμός. Παρέμπτωσις. Καὶ προσχηματισμός. Τῆς δὲ ἐνδείας εἴδη εἰσὶν ἐννέα. Ἀφαίρεσις. Ἄρσις. Συστολή. Συγκοπή. Συναλοιφή. Ἔλλειψις. Παρέλλειψις. Ἔκθλιψις. καὶ ἀποκοπή. Ἀντίκειται οὖν πρόθεσις μὲν ἀφαιρέσει. Ἀναδίπλωσις δὲ ἄρσει. Ἔκτασις συστολῇ. Ἐπέκτασις συγκοπῇ. Διαίρεσις συναλοιφῇ. Παρένθεσις ἐλλείψει. Διπλασιασμὸς παρελλείψει. Παρέμπτωσις ἐκθλίψει. Προσχηματισμὸς ἀποκοπῇ.

Πρόθεσις.

Πρόθεσις μέν ἐστι προσθήκη στοιχείου κατ᾽ ἀρχὴν τῆς συλλαβῆς. οἷον ἀσαφὶς ἀντὶ σαφίς. ἀσταχὺς ἀντὶ σταχύς. θαμὰ ἀντὶ ἅμα.

Ἀναδίπλωσις.

Ἀναδίπλωσις δέ ἐστι τῶν πρώτων ἢ δευτέρων συλλαβῶν διὰ τῶν αὐτῶν συμφώνων ἢ ἀντιστοίχων ἐπάλληλος ἐκφορά. γίνεται δὲ ἐπὶ ῥημάτων καὶ μετοχῶν καὶ ὀνομάτων. πλεονάζει δὲ παρά τε Ἴωσι καὶ Αἰολεῦσιν. οἷον κεκάμωσιν ἀντὶ κάμωσι. λελάχωσιν ἀντὶ λάχωσιν. ἀταρτηρὸς ἀντὶ

Et ſuperabundantia & defectus aliquæ uero ſunt inſecabiles. Sed ſuperabundantiæ ſpecies ſunt nouem. Additio. geminatio. productio. porrectio. diuiſio. interpoſitio duplicatio. Paremptoſis & proſchematiſmus. Sed indigentiæ ſpecies ſunt nouem Aphæreſis. arſis. Siſtole. Syncope Synalœpha. Ellipſis. paralepſis Ecthlipſis & apocope. Aduerſatur igitur additio quidem aphæreſi. Geminatio autem arſi. productio ſyſtolæ. porrectio ſyncopæ diuiſio. ſynalœphæ. interpoſitio. ellipſi duplicatio parellipſi. paremptoſis ecthlipſi proſchematiſmus apocope.

Additio.

Additio quidem igitur ē additio elementi in principio ſyllabæ: ut uua paſſa pro uua paſſa ſpica pro ſpica ſimul pro ſimul.

Geminatio.

Geminatio autem eſt primarum uel ſecundarum ſyllabarum per eaſdem conſonantes uel ſimilis alterna prolatio. fit autem in aduerbiis & participiis & nominibus. abundat autem apud ꝗ ionas & æoles ut laboraſſent pro laboraſſent accidiſſent pro accidiſſent conuitiatorius pro.

ἀτηρός. ἐτήτυμον ἀντὶ ἔτυμον. Ἔκτασις.

Ἔκτασις ἐστὶν ὅταν τὰ συστελλόμενα δίχρονα ἐκταθῇ. ἢ τὰ βραχέα εἰς τὰ μακρὰ ἀντίστοιχα αὐτῶν μεταθῇ. οἷον καλὸς. κᾱλος. κόρη κώρη.

Ἐπέκτασις.

Ἐπέκτασις ἐστὶ πλεονασμὸς συλλαβῆς κατὰ μέσον ὁμοτόνου ὅταν μὴ γενικὸν παρατήρημα κωλύσῃ. οἷον αὐτύχεον ἀντὶ αὐτύχον. ἀδελφειὸς ἀντὶ ἀδελφός. πολεμήια ἀντὶ πολέμια.

Διαίρεσις.

Διαίρεσις ἐστὶ συλλαβῆς ἀνάλυσις ἢ διάστασις εἰς δύο. τὸ δὲ πάθος ἰώνων ἢ θετταλῶν. οἷον παῒς ἀντὶ παῖς. κοΐλην ἀντὶ κοίλην. βέλεος ἀντὶ βέλους.

Παρένθεσις.

Παρένθεσις ἐστὶ προσθήκη φωνήεντος κατὰ μέσον οὐ ποιοῦντος συλλαβήν. οἷον πνείοντες ἀντὶ πνέοντες. κεινὴ ἀντὶ κενή. νοῦσος ἀντὶ νόσος. ξεῖνος ἀντὶ ξένος. εἰλήλυθως ἀντὶ ἐλήλυθως. τὸ δὲ πάθος ἰώνων.

Διπλασιασμός.

Διπλασιασμός ἐστι τοῦ αὐτοῦ συμφώνου προσθήκη κατὰ μέσον οὐκ ἀποτελοῦντος συλλαβήν. ὅττι ἀντὶ ὅτι. ἄδδην ἀντὶ ἄδην. μέσσον ἀντὶ μέσον. ἔννεπε ἀντὶ ἔνεπε. ὅπποτε ἀντὶ ὁπότε. τὸ δὲ πάθος ἰώνων.

Παρέμπτωσις.

Παρέμπτωσις ἐστὶ προσθήκη συμφώνων κατὰ μέσον οὐκ ἀποτελούντων συλλαβήν. οἷον πτόλις ἀντὶ πόλις. πτόλεμος ἀντὶ πόλεμος.

conuiciatorius. uerum pro uerum. Productio. Productio est quando correptæ bitemporeæ producuntur uel breues in longas similes earum mutantur ut bonus bonus puella puella. Epectasis. Epectasis est superabundantia syllabæ in medio eiusdem accentus cũ nõ generalis obseruatio ꝓhibeat ut munitum pro munitum frater pro frater bellica pro bellica. Diæresis. Diæresis est syllabæ resolutio uel disiunctio in duo. Sed passio ionum & thessalorum ut puer pro puer. cauum pro cauum sagitta pro sagitta. Parenthesis. Parenthesis est additio uocalis in medio non facientis syllabam. ut spirantes. pro spirantes. uacua pro uacua. morbus pro morbus. hospes pro hospes. ueniens pro ueniens. sed passio ionum. Diplasiasmus. Diplasiasmus est eiusdem consonantis additio in medio non efficientis syllabam quoniam pro quoniam. satis pro satis medium pro medium dic pro dic. quando pro quando. sed passio ionum. Paremptosis. Paremptosis est additio consonantis in medio non perficientis syllabam ut ciuitas pro ciuitas bellum pro bellum

Προσχηματισμός.

Προσχηματισμός ἐστι προσθήκη συλλαβῆς κατὰ τὸ τέλος. ἔστι δὲ τῶν τεσσάρων διαλέκτων ἴδιος. οἷον λόγοισιν ἀντὶ λόγοις· μούσαισιν ἀντὶ μούσαις· πρόσωπατα ἀντὶ πρόσωπα. ἐγὼν ἀντὶ ἐγώ. λεκτέον δὲ καὶ περὶ ἐνδείας. Ἔνδεια.

Ἔνδειά ἐστιν ἀφαίρεσις κατ᾿ ἀρχὴν στοιχείου. οἷον ὁρτὴ ἀντὶ ἑορτή, αἶα ἀντὶ γαῖα. κεῖνος ἀντὶ ἐκεῖνος. τὸ δὲ πάθος ἰώνων. Ἄρσις.

Ἄρσις ἐστὶν ἀποβολὴ κατ᾿ ἀρχὴν τῆς ἀναδιπλωμένης συλλαβῆς. οἷον βλῆσθαι ἀντὶ βεβλῆσθαι, δέχθαι ἀντὶ δεδέχθαι. βλημένος ἀντὶ βεβλημένος. Συστολή.

Συστολή ἐστιν ὅταν τὰ ἐκτεινόμενα δίχρονα συσταλῇ. ἢ τὰ μακρὰ ἢ τὰ βραχέα ἀντίστοιχα αὐτῶν μεταθῇ. οἷον φυσίζοος ἀντὶ φυσίζωος. ξερὸν ἀντὶ ξηρόν. Συγκοπή.

Συγκοπή ἐστιν ἀποβολὴ συλλαβῆς κατὰ τὸ μέσον. οἷον κάμορος, ἀντὶ κακόμορος. δάσκιον ἀντὶ δασύσκιον. Συναλοιφή. Συναλοιφή ἐστι δύο συλλαβῶν κατὰ φωνήεντος ἕνωσις κατ᾿ ἀποβολὴν τόνων, γίνεται δὲ κατὰ τρόπους ἑπτὰ ἁπλοῦς μὲν τρεῖς. κατὰ θλῖψιν, κατὰ κρᾶσιν, κατὰ συναίρεσιν, συνθέτους δὲ τέσσαρας, κατὰ θλῖψιν καὶ κρᾶσιν

Proſchematiſmus.

Proſchematiſmus eſt additio ſyllabæ in fine. Eſt autem quatuor linguarum proprius ut uerbis pro uerbis: muſis pro muſis. perſonæ pro perſonæ. ego pro ego. Di-cendum autem de defectu. Defectus.

Defectus eſt ablatio in principio elementi. ut feſtum pro feſtum, terra pro terra ille pro il-le, Sed hæc paſſio Ionum. Arſis

Arſis eſt abiectio in principio gemina-tæ ſyllabæ ut iaci pro ia-ci ſuſcipi pro ſuſcipi uulneratus pro uul-neratus. Syſtole.

Syſtole eſt quando productæ bitemporeæ corripiuntur uel longæ uel breues ſimiles earum mutantur ut alma pro alma ari-dum pro aridum. Syncope

Syncope eſt abiectio ſyllabæ in me-dio: ut infœlix pro infœlix. opacum pro opacum. Synalœphe. Synalœphe eſt duarum ſyllabarum ad uocalem unio abie-ctione tonorum. Fit autem per modos ſeptem. Simplices quidem tris. per eliſionem. per craſin. per ſynere ſin. Compoſitos autem quatuor. per eliſionem & craſin

κατὰ θλῖψιν ἢ συναίρεσιν. κατὰ κρᾶσιν ἢ συναίρεσιν. κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν. κατὰ θλῖψιν ἐπ' ἔμε. ἀντὶ ἐπὶ ἐμέ. κατὰ κρᾶσιν τἀμὰ ἀντὶ τὰ ἐμά. κατὰ συναίρεσιν νηρῇδες ἀντὶ νηρηΐδες. κατὰ θλῖψιν ἢ κρᾶσιν κἀγὼ ἀντὶ καὶ ἐγώ. κατὰ θλῖψιν ἢ συναίρεσιν. ἐμοῦποδύνει ἀντὶ ἐμοὶ ὑποδύνει. κατὰ κρᾶσιν καὶ συναίρεσιν. ὡπόλος ἀντὶ ὁ αἰπόλος. κατὰ θλῖψιν καὶ κρᾶσιν καὶ συναίρεσιν ἐν τᾀθιοπίᾳ ἀντὶ ἐν τῇ αἰθιοπίᾳ.

Ἔλλειψις.

Ἔλλειψίς ἐστιν ἀποβολὴ φωνήεντος κατὰ μέσον οὐ ποιοῦντος συλλαβὴν, ἀμύξαι ἀντὶ αἰμύξαι. γεραὸν. ἀντὶ γεραιόν.

Παρέλλειψις.

Παρέλλειψίς ἐστιν ὅταν ἔντι τῶν διπλασιαζομένων συμφώνων παραλείπεται κάλιον ἀντὶ κάλλιον, θᾶτον ἀντὶ θᾶττον.

Ἔκθλιψις.

Ἔκθλιψίς ἐστιν ἀποβολὴ ἑνὸς συμφώνου ἐντὸς τῆς πρώτης ἢ τελευταίας συλλαβῆς οὐ ποιοῦντος συλλαβὴν. σκῆπτον ἀντὶ σκῆπτρον.

Ἀποκοπή.

Ἀποκοπή ἐστιν ἀφαίρεσις συλλαβῆς κατὰ τὸ τέλος. οἷον δῶ ἀντὶ δῶμα. ἀπόλλω ἀντὶ ἀπόλλωνα, ποσειδῶ ἀντὶ ποσειδῶνα.

Per eliſionem & ſynæreſin.per craſin & ſynæreſin per eliſionem & craſin & ſynæreſin.per eliſionem aduerſum me pro aduerſum me per craſin. mea pro mea.per ſynæreſin neredes pro nereides .per eliſionem & craſin & ego pro & ego. per eliſionem & ſinæreſin me ſubit pro me ſubit per craſin & ſynæreſin æpolus pro æpolus.per eliſionem & craſin & ſynæreſin in æthiopia pro in æthiopia.

Ellipſis.

Ellipſis eſt abiectio uocalis in medio non facientis ſyllabam cruentare pro cruentare ſenem pro ſenem.

Parellipſis.

Parellipſis eſt quando una aliqua geminatarum conſonantium omittitur pulchrius pro pulchrius. citius pro citius.

Ecthlipſis.

Ecthlipſis eſt abiectio unius conſonantis inter primam & ultimam ſyllabam non facientis ſyllabam ſceptrum proſceptrum.

Apocope.

Apocope ē aphæreſis ſyllabæ in fine ut domꝰ ꝓ domus. Apollinē pro apollinē. Neptunū pro Neptunum.

ΠΕΡΙ Ἀνομάλων Ῥημάτων Κατὰ Στοιχεῖον.

Ἀρχὴ τοῦ α.

ἌΖΩ ὅθεν ἀόριστος πρῶτος ἀάθην καὶ ἀάθην·
ἄγαμαι. μέλλων ἀγάσομαι. ἀόριστος πρῶτος ἠ-
γάσθην. μέσος ἀόριστος ἠγασάμην.
Ἄγω. μέλλων ἄξω. ἀόριστος. β. ἦγον καὶ ἀττικῶς ἤγαγον.
παρακείμενος ἦχα καὶ ἀττικῶς ἀγήοχα.
Ἀγορεύω· μέλλων ἀγορεύσω. ἀόριστος ἠγόρευσα.
παρακείμενος εἴρηκα. ἀπὸ τοῦ εἴρω.
Ἄδω. μέλλων ἄσω. ἀόριστος ᾖσα. Αἱροῦμαι. μέλ-
λων αἱρήσομαι. παρακείμενος ἥρημαι ἀόριστος
ἡρέθην. μέσος ἀόριστος. β. εἱλόμην. ἀπὸ τοῦ ἕλομαι.
Αἱρέω. ῶ μέλλων αἱρήσω.
αἰσθάνομαι. μέλλων αἰσθήσομαι. παρακείμε-
νος ᾔσθημαι. μέσος ἀόριστος. ᾐσθόμην καὶ αἰσθέο-
μαι αἰσθοῦμαι.
ἁμαρτάνω. παρατατικὸς ἡμάρτανον καὶ πλέ-
ον οὔ. μέλλων ἁμαρτήσω παρακείμενος ἡμάρ-
τηκα. ἀόριστος δεύτερος ἥμαρτον. ἀπὸ τοῦ ἁμαρ-
τέω, ἁμαρτῶ.
Ἀνοίγω. μέλλων ἀνοίξω. ἀόριστος ἀνέῳξα
ἀττικῶς.
ἀπεχθάνομαι. μέλλων ἀπεχθήσομαι. πα-
ρακείμενος. ἀπήχθημαι. μέσος ἀόριστος ἀπε-

De Anomalis uerbis per ordinem.

Principium Alpha.

Sicco unde aoriſtus primus ſiccatus fui & ſiccatus fui
Miror futurum mirabor aoriſtus primus mi-
ratus fui. medius aoriſtus miratus fui.
Ago futurum agam. aoriſtus ſecundus egi & attice egi
Præteritum perfectum egi. & attice egi.
Dico futurum dicam Aoriſtus dixi
Præteritum perfectum dixi a dico
Cano futurum canam. Aoriſtus cecini. Eligo. fu-
turum eligam. præteritum perfectum elegi. aoriſtus.
elegi. medius aoriſtus ſecundus elegi ab eligo.
Capio capio futurum capiam
Sentio futurum ſentiam præteritum per-
fectum ſenſi. medius aoriſtus ſenſi & ſen
tio ſentio.
Pecco præteritum imperfectum peccabam & plus
minime. futurum peccabo. præteritum perfectum pec-
caui. Aoriſtus ſecundus peccaui a pec-
co pecco.
Aperio futurum aperiam aoriſtus aperui
attice.
Odio ſum futurum odio ero præ-
teritum perfectum odio fui medius aoriſtus o-

χθόμην καὶ ἀπεχθέομαι οῦμαι.
αὐξάνω καὶ αὔξω. μέλλων αὐξήσω ὡς ἀπὸ τοῦ πα
λαιοῦ θέματος αὐξέω ῶ. ἀόριστος πρῶτος ηὔξη-
σα. καὶ αὐξάνω παρατατικὸς ηὔξανον.
ἁλόω ῶ. ἀόριστος δεύτερος εἷλον ἀπὸ τοῦ ἕλω. με
τοχὴ ὁ ἁλοὺς ἁλόντος.
ἀμφίεμι καὶ ἀμφιέννυμι. μέλλων ἀμφιέσω.
ἀναγινώσκω. παρατατικὸς ἀνεγίνωσκον μό
νον. μέλλων ἀναγνώσομαι. παρακείμενος ἀνέ
γνωκα. ἀόριστος δεύτερος ἀνέγνων ἀπὸ τοῦ ἀνα
γνῶμι καὶ ἀναγνόω, ῶ.
ἀναζωννύω μέλλων ἀναζεύξω.
ἀνακράζω· μέλλων ἀνακράξω· μέσος παρακεί
μενος ἀνακέκραγα. ἀόριστος δεύτερος ἀνέκρα
γον.
ἀναπνέω. μέλλων ἀναπνεύσω ἀόριστος ἀνέ
πνευσα ἀπὸ τοῦ ἀναπνεύω παλαιοῦ.
Ἀναρρηγνύω καὶ ἀναρρήγνυμι. μέλλων ἀναρρή
ξω ἀπὸ τοῦ ἀναρρήγω.
ἀνασπάω, ῶ. μέλλων ἀνασπάσω.
ἁλίσκομαι. μέλλων. α. ληφθήσομαι ἀπὸ τοῦ
λήβομαι λήψομαι ἐλήφθην. ἀόριστος. β. ἑάλων ἀ
πὸ τοῦ ἁλόω, ῶ. Ἀπαναίνομαι. ἀόριστος ἀπηνηνάμην
Ἀποχρῇ. μέλλων ἀποχρήσει. ἀόριστος ἀπέχρησε.

dio fui & odio ſum odio ſum.
Augeo & augeo. futurum augebo tanquam ab antiquo themate augeo augeo aoriſtus primus auxi & augeo præteritum imperfectum augebam:
Capio aoriſtus ſecundus cepi a capio participium hic captus capti.
Induo & induo futurum induam
Lego præteritum imperfectum legebam ſolum futurum legam. præteritum perfectum legi. Aoriſtus ſecundus legi a lego & lego lego.
Moueo caſtra. futurum mouebo caſtra
Exclamo futurum exclamabo. medium præteritum perfectum exclamaui. aoriſtus ſecundus exclamaui.
Reſpiro futurum reſpirabo. aoriſtus reſpiraui a reſpiro antiquo
Reſcindo & reſcindo. futurum reſcindam a reſcindo.
Euello futurum euellam.
Capior futurum primum capiar a capior capiar captus fui aoriſtus ſecundus captus fui a capio capio. Renuo aoriſtus renui
Sufficit futurum ſufficiet aoriſtus ſuffecit.

Ἀφίημι. Μέλλων. ἀφήσω. Ἀόριστος. ἀφῆκα

Ἀντιστρέφω. Μέλλων. ἀντιστρέψω. Μέσος παρακείμενος. ἀντέστροφα.

Ἀναπετάννύω ἢ ἀναπετάννυμι. Μέλλων ἀναπετάσω ἀπὸ τοῦ ἀναπετάω ῶ.

Ἀπέχω. Μέλλων. ἀφέξω διότι τὸ ἕξω δασύνεται, τρέπεται τὸ. π. εἰς. φ. Παρακείμενος. ἀπέσχηκα. Ἀόριστος β. ἀπέσχον ἀπὸ τοῦ ἀποσχέω ἀποσχῶ.

Ἀποδράω ῶ ὅθεν Ἀόριστος α. ἀπέδρα.

Ἀποδεικνύω καὶ ἀποδείκνυμι. Μέλλων. ἀποδείξω. ἀπὸ τοῦ ἀποδείκω.

Ἀπολέω ῶ. Μέλλων. ἀπολέσω. Παρακείμενος. ἀπώλεκα καὶ ἀττικῶς ἀπολώλεκα καὶ ἀπόλλω ἀπολῶ ἀπῶλα καὶ ἀττικῶς ἀπόλωλα. ἢ ἀπολλύω ἢ ἀπόλλυμι.

Ἀποσβεννύω ἢ ἀπόσβημι. Μέλλων. ἀποσβέσω. Ἀόριστος β. ἀπέσβη.

Ἀποτέμνω. Μέλλων. ἀποτεμῶ καὶ ἀποτμήσω. Ἀόριστος β. ἀπέτεμον.

Ἀποταννύω. Μέλλων. ἀποτάσω.

Ἀπαυράω ῶ. Ἀόριστος. ἀπηῦρα.

Ἀποσυφελίζω. Μέλλων. ἀποσυφελίξω.

Ἀποκλαίω. Μέλλων ἀποκλαύσω ἀπὸ τοῦ κλαύω παλαιοῦ.

Dimitto futurum dimittam. Aoriſtus dimiſi
Conuerto futurum conuertam. Medium
præteritum perfectum conuerti
Explico & explico futurum
explicabo ab explico explico
Recipio futurum recipiam. quoniam habebo aſpiratur
mutatur pi in phi præteritum perfectum re-
cepi. aoriſtus ſecundus recepi a recipio recipio.
Aufugio aufugio unde aoriſtus primus aufugi.
Oſtendo & oſtendo futurum oſten-
dam ab oſtendo.
Perdo perdo futurum perdam præteritum per-
fectum perdidi & attice perdidi & per-
do perdam perdidi & attice perdidi &
perdo & perdo.
Extinguo & extinguo. futurum extin-
guam. Aoriſtus ſecundus extinxi
Abſcindo futurum abſcindam & abſcin-
dam. Aoriſtus ſecundus abſcidi
Extendo futurum extendam
Fruor futurum fruar. i
Amoueo futurum amouebo.
Deploro futurum deplorabo a
ploro Antiquo.

Ἀρέσκομαι. Μέλλων. ἀρέσομαι. καὶ τὸ ἀπρό-
σωπον ἀρέσκει. Παρατατικός. ἤρεσκε.

Ἀτίζω. Μέλλων. ἀτίξω.

Ἀφικνοῦμαι. Μέλλων. ἀφίξομαι. Παρα-
κείμενος. ἀφῖγμαι. Μέσος ἀόριστος. ἀφικό-
μην. Ἀφίπταμαι. Ἀόριστος. ἀπέπτην. Μέ-
σος ἀόριστος. ἀπεπτάμην.

Ἄχθομαι. Μέλλων. ἀχθήσομαι. Ἀόριστος α
ἠχθέσθην. Ἀρχὴ τοῦ Β.

Βάλλω. Μέλλ. βαλῶ. Ἀόριστος. ἔβαλον
Παρακείμενος. βέβληκα. ἀπὸ τοῦ βλῶ βλήσω
Βλαστάνω ἢ βλαστέω ῶ. Ἀόριστος. ἔβλαστ) Βόω ῶ.
Μέλλων. βόσω.

Βούλομαι. Μέλλων. βουλήσομαι. Παρακεί-
μενος. βεβούλημαι. ἐβεβουλήμην ἐβουλήθην. Ἀρχὴ τοῦ Γ.

Γαμέω ῶ. Μέλλ. γαμήσω. Ἀόριστος. α ἔγημα.

Γείνομαι. Μέλλων. γενοῦμαι. Μέσος ἀόριστος
α. ἐγεινάμην.

Γήθω. Μέλλων. γήσω. Μέσος παρακείμενος.
Γέγηθα. καὶ γηθέω ῶ γηθήσω.

Γηράσκω καὶ γηράω ῶ. Μέλλων. γηράσω.

Γρηγορέω ῶ. Μέλλων. γρηγορήσω. Μέσος
παρακείμενος ἐγρήγορα. Ὑπερσυντέλικος ἐ-
γρηγόρειν. Γίνομαι ἢ γίγνομαι. Μέλλ. γενήσομαι ἀπὸ

Concilio futurum conciliabo & imper-
sonale placet Præteritum imperfectum placebat
Inhonoro futurum inhonorabo
Peruenio futurum perueniam Præteritum perfe-
ctum perueni. Medius aoristus perue-
ni. Auolo aoristus auolaui. Medi-
us aoristus auolaui
Tristor futurum tristabor aoristus primus
tristatus sum. Principium Vita.
Mitto futurum mittam Aoristus misi:
Præteritum perfectum misi a mitto mittam:
Germino & germino. aoristus germinaui: Clamo
Futurum clamabo
Volo futurum uolam Præteritum per-
fectum uolui uolueram uolui. Principium Gamma
Duco uxorē futurū ducā uxorem aorist⁹ prim⁹ duxi uxorē
Gigno Futurum gignam. Medius aoristus
primus genui.
Lætor futurum lætabor. Medium præteritum perfectum
lætatus sum & lætor lætabor.
Senesco & senesco Futurum senescam.
Vigilo Futurum uigilabo. Medium
Præteritum perfectum uigilaui. Præteritum plusq̄ pfectum
uigilaueram. Fio & fio Futurum fiam a

τοῦ γενάομαι ῶμαι. Παρακείμενος. γεγένημαι
Μέσος ἀόριστος α. ἐγενησάμην. Μέσος ἀόριστος β.
ἐγενόμην. Μέσος παρακείμενος. γέγονα. ἀπὸ
τοῦ γένω γενῶ. Γινώσκω. ἐγίνωσκον καὶ τὸ πλέ
ον οὐ. Μέλλων. γνώσομαι. Παρακείμενος ἔγνω
κα. Ἀόριστος β. ἔγνων. ἀπὸ τοῦ γνόω. ῶ. καὶ γνῶ-
μι Ἀρχὴ τοῦ Δ. Δαΐζω. Μέλλων. δαΐξω ἀπὸ
δαΐω δαΐσω δαΐζομαι. Δάκνω ἔδακνον Μέλλ.
δήξω. Ἀόριστος β. ἔδακον ἀπὸ τοῦ δήκω.
Δαμάζω. μέλλ. δαμάσω. Δαίω. μέλλ.
δαήσω. Ἀόριστος. ἐδάην. Δεῖ. μέλλων.
δεήσει. Ἀόριστος. ἐδέησε. Δεῖ. Παρατατι
κὸς. ἔδει. Ἀπαρέμφατον δεῖν. Δείδω. μέλλ.
δείσω Παρακείμενος. Δέδοικα. Ὑπερσυντέλικος. ἐ
δεδοίκειν. Μέσος Παρακείμενος. δέδια.
μέσος ὑπερσυντέλικος ἐδεδίειν.
Δέω. Μέλλ. δέσω καὶ δήσω. Δέομαι. μέλ
λων. δεήσομαι. Παρακείμενος. δεδέημαι ἀπὸ
τοῦ δεέομαι οῦμαι. Δέχομαι. μέλλ. δέξομαι. Πα
ρακείμενος δέδεγμαι. Μέσος Ἀόριστος α. ἐδε
ξάμην. Δέδηα ἀπὸ τοῦ δαίω. Μέσος πα
ρακείμενος. Διαζωννύω καὶ διαζώννυμι.
Μέλλ. διαζώσω ἀπὸ τοῦ διαζόω διαζῶ Διαλα-
γχάνω. Ἀόριστος β. διέλαχον ἀπὸ τοῦ διαλήχω

Fio præteritum perfectum factus ſum
medius aoriſtus primus feci. medius aoriſtus ſecundus
factus ſum. medium præteritum perfectum factus ſum. a
gigno gignam. Cognoſco cognoſcebam & plus
minime. Futurum cognoſcam. præteritum pfectum cogno
ui. Aoriſtus ſecũdus cognoui a cognoſco. ſco. & cogno-
ſco Principium Delta: Diuido futurum diuidã &
Scio ſciam. Inquiro. Mordeo mordebam futurum
mordebo. Aoriſtus ſecundus momordi a mordeo
Domo futurum domabo. ſcio futurum
ſciam Aoriſtus ſciui. oportet futurum
oportebit. aoriſtus oportuit. oportet præteritum imper-
fectum oportebat. Infinitum oportere. Timeo futurum
timebo. Præteritũ pfectũ timui. Ptũm pluſq̃pfectũ timue-
ram. Medium præteritum perfectum timui.
medium præteritum pluſquam perfectum timueram.
Ligo futurum ligabo & ligabo. Rogo fu-
turum rogabo. præteritum perfectum rogaui a
rogo rogo. Suſcipio futurum ſuſcipiam. præteritum
perfectum ſuſcepi. medius aoriſtus primus ſu-
ſcepi. combuſſi a ꝯburo medium præteritum
perfectum diſcingo & diſcingo
futurum diſcingam a diſcingo diſcingo. Sor-
tior aoriſtus ſecundus ſortitus ſum a ſortior.

Διδάσκω. ἐδίδασκον. καὶ πλέον οὐ. Μέλλων δι-
δάξω ἀπὸ τοῦ διδάχω. Ἀόριστος α. ἐδίδαξα.
Διδράσκω καὶ διαδιδράσκω Ἀόριστος α. διέ-
δρα καὶ ἀπέδρα. Διαφθείρω. Μέλλων
διαφθερῶ. Μέσος παρακείμενος. διέφθορα
Δοκέω ῶ. Μέλλων. δόξω ἀπὸ τοῦ δόκω.
Ἀόριστος α. ἔδοξα. τὸ δὲ δεδόκηκα ἀπὸ τοῦ δοκέω
δοκῶ. Δράω ῶ. Μέλλων. δράσω
Παρακείμενος. δέδρακα. Ἀόριστος α. ἔδρασα.
ῳ cũ iota ſubſcripto facit o lõgũ ut παλινῳδία palinodía τῷ ἀνθρώπῳ to anthropo. ueteres uero nõ ſubſcribebãt iota. ſed adſcribebãt ſic τῶι. αἰνεια. to ænia τῆι. μούσηι. timuſi τραγωιδία. tragodía. quod in Codicibus antiquis licet uidere minore tamen iota α η ω litteris, quibus adſcribitur & eiuſdem quantitatis cui⁹ ẽ apud nos quod ſubſcribit̃ q̃ antiq̃ ſcribẽdi conſuetudo adhuc remanet ĩ grãdiorib⁹ lr̃is ſic ΤΩΙ ΛΟΓΩΙ To Logo ΤΗΙ. ΜΟΥΣΗΙ. muſi ΜΑΙΑΙ mea.

Υ cũ iota sic Υι ῢ facit i lõgũ ut ἈΡΓΥ̑ΙΑ ἁρπῦα harpyía. ΜΥ̑ΙΑ μῦα myía ἠ τετυφῦα τῆς τετυφύας í tetypbyía tís tetyphyías.

ΗΥ ηυ facit ib mediũ inter b & u cõsonantẽ ut ἨΎΔΑ ΠΡΟΣΗΎΔΑ íbda prosibda. αὐλέω ηὔλεον ηὔληκα ηὐλήκειν ηὔλησα afleo ífleõ íflica íflichín íflisa.

ΩΥ ωυ facit ob mediũ inter b & u consonantẽ ut ὯΥ-ΤΟΣ ὦυτὸς oftos pro αὐτὸς. & θωυμαςὸς thofmastos p θαυμαςὸς qua diphthõgo iones utunť p αυ

Quemadmodum litteræ ac diphthongi græcæ in latinum transferantur.

Α α mutať in a ut Κάλαθος calathus. Interdũ in e ut Τάλαντον talentũ. Itẽ in i ut Κάναςρον. caniſtrũ. Itẽ in o ut μάρμαρον marmor. κάρυλος corylus. & in u ut ἡρακλῆς Hercules hyperthesi τȣ̃.κ. Et in æ diphthongum ut ἀσκλήπιος æsculapius.

Β mutať frequentissime in b ut Φοῖβος. phœbus βάρβαρος barbarus. aliquãdo in p ut βαβαὶ papæ. quã q̃ & græci παπαὶ dicunt. Item in ph ut θρίαμβος triumphus. Γ γ mutatur in g ut γώβιος gobius γένος genus. uertitur etiam in n in iis dictionibus quæ apud græcos cõmutarunt. ν. in γ sequentib⁹ κ χ ξ ut ἄγγελος angelus δίφθογγος diphthongus ἄγκυρα ancora ἀγχίσης anchises σφίγξ sphinx.

Quoniã añ r κ χ ξ nõ admittit̃ ν apud græcos: mutatũ ẽ in ſ. quod Romani rurſus i n cõmuta runt. Etſi antiq græcã orthographiã obſeruantes Aggelus diphthoggus geminato g ſcribebãt. Δ cõmutat̃ in: d ut διδώ. dido. δαίμων. dæmon. Interdũ in b ut δὶς bis. & in l ut ὀδυσσεύς ulyſſes: ſicut apud nos ut ſedes ſella. nam. d. & l. inuicẽ ſibi cedunt.

Epſilõ mutat̃ in e breue ut ἐγὼ ego γένεσις geneſis. Z remanet ut ζάκυνθος zacynthus ζέφυρος zephyrus. Interdũ mutat̃ i geminũ ſſ ut μάζα maſſa πατζώσω patriſſo.

H mutatur in e longum ut πηνελόπη penelope. πηνελόπης Penelopes. ἡρακλῆς Hercules. interdum in a longum ut μήτηρ mater νηΐς naís. φήμη phama σίνηπι ſinapi θρήκη thrace. Item ĩ æ diphthõgum ut κήρη cæra σκηνὴ ſcæna σκηνοπήγια ſcænophegia ἠθικὴ æthica. Θ mutatur in th aſpiratũ. ut θρήκη thrace θυρσός thyrſus. Interdũ in ſuã tenuẽ ideſt. t. ut θρίαμβος triũphus. Itẽ i ſuã mediã. i. d ut θεὸς deus θεά dea. I mutat̃ i mõ lõgũ modo breue ut ἀγχίσης anchiſes νεστορίδης neſtorides. K mutatur in c ut κάκος cacus κωκυτός. Cocytus. Interdum in ſuam mediam g ut κώβιος gobius κύκνος cygnus ἀκνὸς agnus.

Item in.p.ut λύκος· lupꝰ. Λ λ. mutatur in.l.ut
πάλλας Pallas λύγξ lynx λύρα lyra. λύξ
lux λωτὸς lotus M μ mutatur in m. ut γραμ
ματικὸς. grammaticos. στέμμα. stēma μέμνη-
μι. memini μελπομένη. melpomene. N ν uer
titur in n ut ναῦς. nauis νηΐς. nais νύξ nox
νυκτέλιος. nyctelius. Ξ ξ uertitur in x ut
ξενοφῶν Xenophon ξένιον. xenium. O micron
uertitur in o breue ut ὄλυμπος. olympus. Itē in u ut
ὀδυσσεύς. ulysses. πορφύρα purpura συρακό
σιος. Syracusius δωρικῶς. nā κοινῶς. συρα
κούσιος dicit'.sed frequens mutatio ē o in u in fine dicti
onis ut κύπρος. cyprus Ὅμηρος. homerus πήλι
ον. pelium. ἴλιον. ilium. interdū in e γόνυ genu πὸς
αἰολικῶς pes nam κοινῶς πούς dicitur ἀλέξαν
δρος. Alexander. κάπρος caper. Π π muta
tur in.p.ut πασιφάη .Pasiphae: πάπποι pappi
Πάππα pappa. interdum in suam aspiratā quæ ē apud
nos ph ut τρόπαιον. trophæum λαπίθαι laphithæ
ὑψιπύλη hypsiphyle. Item in suam mediam quæ est
apud nos b ut πύξος buxus ἄψυρτος absyrtꝰ nā ψ
ē ps ut ἄραψ. arabs. P ρ uertit' i.r.ut ῥήτωρ. rhetor
ubi sciēdū oēm dictionē q̄ apud græcos scribit' p.ρ. i prici-
pio dictiōis trāsferri a nr̄is i r cū aspiratiōe ut ῥέα rhea.

Σ. mutatur in s ut σίσυφος. Sisyphus. interdũ in x
ut αἴας aiax. πίστρις pistrix. ubi imitamur dores qui
pro σύμμαχος ξύμμαχος. dicunt. itẽ in. τ. ut σὺ
tu. σὲ te. quod item doricũ ẽ dores enim ꝑ θάλασσα, θά
λαττα, dicunt. τήμερον pro σήμερον τὺ pro σύ.
T. uertitur in t ut τροῖα, troia Τάνταλος tantalus. in-
uenitur etiam mutatũ in s sigma præcedẽte ut ὄστα ossa.
Υ. plerũq; remanet ut Ἱερώνυμος Hieronym⁹ συνώ
νυμον synonymum. transit etiã in u ut Ῥώμυλος Rho
mulus πύξος buxus πορφύρεος purpureus. σὺς sus
δύο duo κύβερνητης gobernator. φυγὴ fuga. βότρυς
botrus. μῦς mus γόνυ genu.
Φ. uertitur in ph ut φιλόσοφος philosophus aliquãdo
etiam in f ut φυγὴ fuga φήμη fama. item in suam tenu
em. ut σφαῖρα spæra & i suã mediã ut ἄμφω ambo.
X. mutatur in c cũ aspiratiõe sic ch. ut Χρύσης Chryses
Χρυσόστομος chrysostom⁹ Χριστὸς Christus quæ lit-
tera quia habet figuram x nostri sunt qui putant cum
sic scribitur Xp̃s per x & p scribi latinas litteras. cum ea
quæ x uidetur sit Χ & quæ uidetur p sit ρ & græce scriba
tur cum sic scribitur Xp̃s. quanq̃ sic scriptum semper fere le
gimus in sacra pagina. latinæ uero scribẽdũ est per c aspi
ratũ sic Christus. Eodem modo decipiuntur in IHS cre
dentes esse aspirationem hanc litteram. H. cum sit ita græ.

ca uocalis quæ apud nos in e longum frequētius commutatur ut ΙΗΣΟΥ͂Σ IESVS. Item quia græci etiam sic scribunt ἡ. ῆτα. idest ita quod est simile nr̄æ longiusculæ aspirationi Latini sic scribūt IHS. qnod uulgus per aspirationem scribi existimat. Quoniam in sermonem de aspiratione incidimus illud annotatiōe dignum existimauimus acceptam esse aspirationem nostram ἀπὸ τῆς δασείας καὶ ψιλῆς Accentibus græcis. Nam illi dasian sic notant ‘ & psilen sic ’ quos accentus in unum coniungentes romani fecerunt eam aspirationē qua nos in grandiusculis utimur litteris. Qui tamen accentus nunc fere exoleuerūt apud græcos. quorum loco iuniores sic utuntur ‘ ’ ut ἡ δασεῖα habeat figuram c. nostri sic ‘ ψιλὴ uero τῇ δασείᾳ oppositam sic ’ & hinc puto nos accepisse aspirationem qua cursim scribendo utimur. Nam si addas psilen denso aspirationem facies sed inflexam. Quanq̄ ætate nostra plures rectā q̄ flexā scribentes notant. Hanc nos aspirationē mō in s uertimus ut ἕξ sex ἑπτά septem ἕρπυλλον Serpillum. modo in. u. ut ἑσπέρα Vespera. ἕνετος Venetus. sed freq̄nter i nr̄am aspirationē ut ὕμνος hymnus. Ἡσίοδος Hesiodus. Ὅμηρος Homerus. Ψ mutatur in ps ut αἰθίοψ æthiops. ψευδομάρτυρ pseudomartyr. ψιλωθρον psilotrum. Aliquādo

tranſit in b ut ἄραψ arabs ἄψυρτος abſyrtus.
Omega tranſit in o longum ut ὠκεανὸς Oceanus.
εἴδωλον idolum.

Quonãmõ diphthongi ad nos ueniant.

αι mutatur in æ diphthõgum ut αἰνείας Aeneas ἑβραῖος hebræus παλαίστρα palæſtra παιᾶν. pæan. interdum diuiditur ut ἀίας aiax μαία. maia

Αυ uertitur in. au. ut αὐλὴ aula θησαυρὸς theſaurus ſed caue ne te decipiãt Nicolaus Mene laus & ſimilia quæ non habent diphthõgũ quia ſunt a græcis in αος

Ει mutatur uel in e longum ut ἀχιλλεῖος Achilleus καλλιόπεια Calliopea uel in i longum ut νεῖλος Nilus θάλεια Thalia εἴδωλον Idolum.

Ευ mutatur in eu diphthongum noſtram ut θησεὺς Theſeus εὖγε Euge. εὖρος. Eurus.

Οι mutatur in œ diphthongum ut φοῖβος phœbus. οἰνόφορον œnophorum.

Ου mutatur in u longam ut μοῦσα muſa οἰδίπους œdipus.

De diphthongis improprie.

ᾳ cum iota ſubſcripto tranſit in æ diphthongum ut τῇ λήδᾳ huic ledæ ῃ cum iota ſubſcripto tranſit in æ diphthongum ut τῷ ποιητῇ huic poetæ

ῳ cum iota ſubſcripto tranſit in œ diphthõgum ut ἡ κωμῳδία hæc comœdia ἡ τραγῳδία hæc tragœdia.

ABBREVIATIONES PERPULCHRAE scitu quibus frequentissime græci utuntur indifferenter & imprincipio & in medio & in fine uersus.

ς facit ῶν ut μουσ μουσῶν uel sic μουσ μουσῶν ς facit ὼν cum accentu graui ut τὴν διαφορ διαφορὰν. facit ας ut μουσ μούσας. facit ᾶς. ut τῆς διαφορ διαφορᾶς uero ας ut τῆς μαι μαίας. facit αις ut ταῖς μουσ μούσαις uero αῖς. ut τ τιμ. ταῖς τιμαῖς facit ες ut ἀκαρτ ἀκαρτες. facit εν ut τύπτομ τυπτομεν uero ὲν ut μ μὲν. facit ῆς ut τ τιμ τῆς τιμῆς uero ης ut μουσ μούσης. facit ὴν ut τ τιμ τὴν τιμὴν. uero ην ut πηνελόπ πηνελόπην. ἥδ ἥδην. inuenitur etiam sic τ γραμματικ τὴν γραμματικὴν facit ις ut ἡ φύσ φύσις facit ιν ut τὴν φύσ. φύσ φύσιν. facit εῖς ut γονε γονεῖς. uero & εις. ut τὰς προτάσ προτάσεις. αἱ φάσ ἀποφάσ φάσεις καὶ ἀποφάσεις facit ὸν ut τ θε τὸν θεὸν quod & sic scribit ut τὸ λευκ λευκὸν & cũ acuto sic ut τὸν λογ λόγον. facit ῶν ut

τ̃ μοισ̃ τῶν μοισῶν. ~ uero ων ut τῶν λόγ̃ λόγων
ς facit ως ut τῆς φύσε φύσεως. Itẽ ως ut
π̃ πῶσ facit ως cũ acuto pcedẽte sic τοῦ βασι-
λε βασιλέως. ο facit ος ut ἄνθρωπ ἄνθρωπος
ὸ aũt ος ut θνητ θνητὸς. ″ facit ειν ut λέγ″ λέ
γειν. Itẽ ειν ut εἰπ εἰπεῖν. facit οισ ut τ θνη
τ τοῖσ θνητοῖσ uero οις ut τοῖσ λόγ λόγοισ
facit ους ut τ θνητ θνητοὺσ. Itẽ ους ut τοὺσ
πόν πόνους. facit ται & & ut λέγε λέ
γεται λέγον λέγονται λέγη λέγηται. αι facit
αι ἢ δέ. καὶ καί. γὰρ γάρ. ὅτι
ἐστί. αρ est αρ. ut ἄρτος ἄρτος. ηπ ἦπαρ
αλλ αλλ ut ἀλλὰ ἀλλά. ερ ερ. ut πα
τρ πάτερ πάτερ. ες ες. ut αἴαντες αἴ-
αντες. εν εν. γεν μεν γεν μεν. ην ην
ut τὴν τὴν. σὺν σὺν. τρ τρ. ut τροία
τροία. τὸ τὸ. ἀπὸ ἀπὸ. ς facit στ ut στό-
μα στόμα. σπ facit σπ ut ὥσπερ ὥσπερ.
σσ facit σσ ut θάλασσα θάλασσα. χ
est σχ ut σχῆμα σχῆμα. ου est ου ut τοῦ τοῦ
υ est υ ut τοῦ τοῦ. ευ est ευ ut εὖγε.
εἰς est εἰς. τῶν τ̃ est τῶν. κῶν est κῶν.

Plurimas connexiões prætermisi
quia sunt perfaciles scitu.

ΕΥΧΗ κυριακή. ΠΑΤΕΡ ἡμῶν ὁ ἐν τοῖς οὐρα-
νοῖς ἁγιασθήτω τὸ ὄνομά σου. ἐλθέτω ἡ βασιλεία σου.
γενηθήτω τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.
τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. καὶ
ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. ὡς καὶ ἡμεῖς ἀφίε-
μεν τοῖς ὀφειλέταις ἡμῶν καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς
πειρασμὸν ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. Ἀμήν.
Ἀσπασμὸς τοῦ ἀγγέλου πρὸς ἀξιωτάτην παρθένον.
ΧΑΙΡΕ κεχαριτωμένη Μαρία ὁ κύριος μετὰ σοῦ
εὐλογημένη σὺ ἐν γυναιξὶ. καὶ εὐλογημένος ὁ καρπὸς
τῆς κοιλίας σου. Ὅτι σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

ΕΙΣ ΤΗΝ ΑΥΤΗΝ ΕΤΕΡΑ.

Χαῖρε δέσποινα μήτηρ ἐλέους, ζωή. γλυκύτης. καὶ ἐλ-
πὶς ἡμῶν χαῖρε πρὸς σὲ βοῶμεν οἱ τῆς Εὔας ἐξόρι-
στοι παῖδες πρὸς σὲ ἀτενίζομεν στενάζοντες καὶ θρη-
νοῦντες ἐν τῇδε τῇ τοῦ κλαυθμῶν κοιλάδι, ἄγε
δὴ συνήγορε ἡμῶν τοὺς εὐσπλάγχνους σου ὀφθαλμοὺς
ἐφ' ἡμᾶς ἐπίστρεψον καὶ ΙΗΣΟΥΝ τὸν εὐλογημένον
καρπὸν κοιλίας σου μετὰ τὴν ὑπερορίαν ταύτην
ἡμῖν ἀνάδειξον. ὦ ἐπιεικής. ὦ εὔσπλαγχνε. ὦ γλυ-
κασμὲ παρθένε Μαρία. Σύμβολον τῶν Ἀποστόλων.
Πιστεύω εἰς ἕνα θεὸν πατέρα παντοκράτορα ποιη-
τὴν οὐρανοῦ καὶ γῆς ὁρατῶν τε πάντων καὶ ἀοράτων. καὶ εἰς
ἕνα κύριον Ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ καὶ
τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων.

Oratio dominica. Pater noſter qui in ce-
lis ſanctificetur nomen tuum. adueniat regnũ tuũ.
fiat uoluntas tua ſicut in cælo & in terra.
panem noſtrum quotidianum da nobis hodie. &
dimitte nobis debita noſtra. ſicut & nos di-
mittimus debitoribus noſtris. & ne inducas nos in
temptationem. ſed libera nos a malo Amen.

Salutatio Angeli ad beatiſſimam uirginem.
Aue gratia plena Maria dominus tecum
benedicta tu in mulieribus & benedictus fructus
uentris tui. quoniã peperiſti Saluatorẽ aĩarũ nraꝝ.

AD EANDEM ALTERA.

Salue regina mr̃ miſericordiæ. uita. dulcedo & ſpes
noſtra ſalue. ad te clamamus Euæ exu-
les filii ad te ſuſpiramus gementes & flen
tes in hac lachrymarum ualle. eia
iam aduocata noſtra miſericordes tuos oculos
ad nos conuerte. & IESVM benedictum
fructum uentris tui nobis poſt exilium hoc
nobis oſtende o clemens o pia o dul-
cis uirgo Maria. Symbolum apoſtolorum.
Credo in unum deũ patrem omnipotentem poe-
tã celi & terræ. uiſibiliũ omniũ & iuiſibiliũ & ĩ
unũ dñm IESVM Chriſtũ filiũ dei unigenitũ. &
ex patre natum ante omnia ſæcula.

θεὸν ἐκ θεοῦ. φῶς ἐκ φωτός. θεὸν ἀληθινὸν ἐκ θεοῦ
ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα ὁμοούσιον τῷ
πατρί, δι' οὗ τὰ πάντα ἐγένετο, τὸν δι' ἡμᾶς τοὺς ἀν-
θρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελ-
θόντα ἐκ τῶν οὐρανῶν, καὶ σαρκωθέντα ἐκ πνεύ-
ματος ἁγίου, καὶ μαρίας τῆς παρθένου καὶ ἐνανθρω-
πήσαντα, σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ πον-
τίου πιλάτου, καὶ παθόντα, καὶ ταφέντα, καὶ ἀνα-
στάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς γραφάς, καὶ ἀνελ-
θόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξι-
ῶν τοῦ πατρός, καὶ πάλιν ἐρχόμενον μετὰ δόξης
κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ
ἔσται τέλος καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ κύριον τὸ
ζωοποιὸν τὸ ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορευό-
μενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον,
τὸ λαλῆσαν διὰ τῶν προφητῶν, καὶ μίαν ἁγίαν κα-
θολικὴν καὶ ἀποστολικὴν ἐκκλησίαν, ὁμολογῶ ἓν
βάπτισμα, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ προσδοκῶ
ἀνάστασιν νεκρῶν, καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

Εὐαγγέλιον τοῦ ἁγίου ἰωάννου.

Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ
θεὸς ἦν ὁ λόγος. οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν, πάν-
τα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ
γέγονεν, ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων

deum̄ de deo. lumen de lumine, deum uerum de deo
uero genitum non factum consubstantialem
patri per quem omnia facta sunt. qui propter nos homi-
nes & propter nostram salutem de-
scendit de cælis. & incarnatus est de spiri-
tu sancto & Maria Virgine & Homo
factus est. crucifixus etiam pro nobis sub Pon
tio pilato passus & sepultus est. & resur-
rexit tertia die secundum scripturas. & ascen-
dit in cælum sedet ad dexte-
ram patris. Inde uenturus est cum gloria
iudicare uiuos & mortuos. cuius regni non
erit finis. & in spiritum sanctum dominum
uiuificantem qui ex patre filioq; proce-
dit. Qui cum patre & filio simul adoratur
qui locutus est per prophetas & unā sanctā ecclesiā catho-
licam & apostolicam ecclesiam. Confiteor unum
baptisma in remissionem peccatorum & expecto
resurrectionem mortuorum. & uitam uēnturi seculi.

Euangelium Sancti Ioannis.

In principio erat uerbum. & uerbum erat apud deum &
Deus erat uerbum. hoc erat in principio apud deum o-
mnia per ipsum facta sunt. & sine ipso factum ē nihil quod
factum est. In ipso uita erat. & uita erat lux hominum:

καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κα-
τέλαβεν. ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐ-
τῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ
περὶ τοῦ φωτός, οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρή-
σῃ περὶ τοῦ φωτός. ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει
πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ
ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. εἰς τὰ
ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλα-
βον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι τοῖς πι-
στεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θε-
λήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ' ἐκ θεοῦ ἐ-
γεννήθησαν, καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡ-
μῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ. δόξαν ὡς μονογε-
νοῦς παρὰ πατρὸς πλήρης χάριτος καὶ ἀληθείας.

ΧΡΥΣΑ ἔπη τοῦ Πυθαγόρου.

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται, τίμα· καὶ
σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγαυούς. Τούς τε καταχθο-
νίους σέβου δαίμονας ἔννομα ῥέζων. Τούς τε γονεῖς τίμα,
τούς τ' ἄγχιστ' ἐκγεγαῶτας. Τῶν δ' ἄλλων ἀρετῇ ποιοῦ φίλον
ὅστις ἄριστος. Πραέσι δ' εἶκε λόγοις, ἔργοισί τ' ἐπωφε-
λίμοισι. Μηδ' ἔχθαιρε φίλον σόν, ἁμαρτάδος εἵνε-
κα μικρῆς. Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι
ναίει. Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε·
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου
Μήτ' ἰδίῃ. πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.

& lux in tenebris lucet & tenebræ eam non comprehenderunt. fuit homo missus a deo nomen e-
i erat Ioãnes. hic uenit in testimoniũ ut testimoniũ phiberet de lumine. Non erat ille lux sed ut testimonium perhiberet de lumine. Erat lux uera quæ illuminat
omnem hominẽ uenientẽ in hunc mundũ. In mũdo erat & mundus per ipsum factus ẽ. & mũdus eũ nõ cognouit. In propria uenit & sui eum non receperũt. Quotquot aũt receperunt eum dedit eis potestatem filios dei fieri credentibus in nomine eius qui nõ ex sanguinibus neq; ex uoluntate carnis neque ex uoluntate uiri. sed ex deo nati sunt. Et uerbum caro factum est: & habitauit in nobis & uidimus gloriam eius gloriam quasi unigeniti apatre plenum gratiæ & ueritatis

CARMINA AVREA PYTHAGORAE

Immorales qdẽ primũ deos lege ut dipositi sũt Cole. & uenerare iusiurandum. deinde Heroas illustres. Et terrenos uenerar̃ dæmões legitie sacrificãs. Et pẽtes honora & proxime natos. Sed ex aliis uirtute fac amicum quicũq; optimus. Benignis ãt pare s̃monib⁹ opibusq; utilibus. Neque odio habe amicum tuum peccati causa parui Quoad possis. potentia. n. necessitatem prope habitat. Hæc autẽ sic scito abstinere uero assuesce hoꝝ. Ventris quidem primum & somni luxuriæque & iræ. facies autem rem turpem neque cum alio neq; sepati. i oib⁹ aũt maxie pudeat te tui ipsius.

Εἶτα δικαιοσύνην ἀσκεῖν ἔργῳ τε λόγῳ τε.
μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασιν.
χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ' ὀλέσθαι.
ὅσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν
ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ' ἀγανάκτει.
ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε δὲ φράζευ.
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοὶ
προσπίπτουσ'. ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς.
Εἴργεσθαι σαυτόν. ψεῦδος δ' ἤν πέρ τι λέγηται.
πράως εἶχ'. ὃ δέ τοι ἐρέω ἐπὶ παντὶ τελείσθω.
μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ.
πρῆξαι, μηδ' εἰπεῖν ὅτι τοι μὴ βέλτερόν ἐστι.
βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
πρῆσσε δὲ μηδὲν τῶν μὴ πίστασαι, ἀλλὰ δίδασκευ.
ὅσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.
οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
ἀλλὰ ποτοῦ τε μέτρον καὶ σίτου γυμνασίων τε.
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ' ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον ἄθρυπτον.
Καὶ πεφύλαξο γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.

Tum iustitiam exerce req; uerboq;.
neq; stulte tei psum habere in re ulla assuesce:
sed cognosce quidem q; mori fato datum est omnibus.
pecunias autem aliquãdo quidẽ possidere ama. aliqñ pder.
Quotq; cælesti fortuna mortales calamitates habent
harum si partem habeas æquo animo patere. ne ægre feras.
corrigere autem conuenit quoad potes. sic autem considera
non ualde bonis istarum. s. calamitatum fortuna præbet
multi autem hominibus sermones maliq; & boni
coincidunt. quibus neq; obstupesce. neq; quidem permittas
implicari te ipsum. mendacium autem siquod dicatur
Benigne feras. Quod autem tibi dicam in oĩ. i. oĩno pficiatur
nullus neq; sermone te decipiat. neq; quid facto.
fac neq; dic quod tibi non melius sit-
consule autem ante opus. ut non stulta sint.
timidi quidem facereq; dicereq; stulta : proprium hominis.
sed ea perfice quorum postea te non pœniteat.
fac autem nihil quæ nescis. sed docearis
Quæcunq; necesse est: & delectabilem uitam sic perages.
neq; sanitatis circa corpus negligentiam habere oportet.
sed potus mẽsuram: & cibi exercitiorumq;
fac. mẽsuram autem dico hanc quæ molestiam non inferat.
assuesce autem uiuẽdi modum habere purum: firmum.
Et caue hæc facere quæ odium tenent.

μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ. λόγισαι δὲ πρὸ ἔργου.
μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν.
πῇ παρέβην. τί δ' ἔρεξα. τί μὴ δέον οὐκ ἐτελέσθη.
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι καὶ μετέπειτα.
δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο. χρηστὰ δὲ τέρπου.
ταῦτα πόνει. ταῦτ' ἐκμελέτα. τούτων χρὴ ἐρᾶν σε.
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον.
θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας
γνώσῃ ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
σύστασιν. ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.
γνώσῃ δ' ᾗ θέμις ἐστὶ φύσιν περὶ παντὸς ὁμοίην.
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
τλήμονας, οἵτ' ἀγαθῶν πέλας ὄντων οὔτ' ἐσορῶσιν,
οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνίσασι.
τοίη μοῖρα βροτῶν βλάπτει φρένας. οἱ δὲ κυλίνδροις
ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν
σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν

Ne expende extra tempus tanquam bonorum neſcius.
neq; auarus ſis. menſura autem in omnibus optima.
fac autem ea quæ te non lædant: conſidera autem ante opus.
neq; ſomnum mollibus in oculis ſuſcipe
antequam diurnorum operum ter unũ quodq; percurras.
quo acceſſi? quid uero feci quod mihi decẽs nõ perfectũ eſt?
incipiens autem a primo percurre: & poſtea
mala quidem ſi feceris: dole. bonis uero lætare.
hæc labora: hæc meditare: hæc oportet amare te:
hæc te diuinæ uirtutis ad ueſtigia ponent
næ per noſtræ animæ dantem quaternarium numerum
fontem perennis naturæ. ſed uade ad opus
deis ſupplicans perficere. his autem dominatus
cognoſces immortaliumq; deorum mortaliumq; hominũ
cõiunctionẽ quẽadmodũ ſingula ꝑtrãſeũt & ſicut tenẽt.
cognoſces autem quatenus fas eſt naturã de omni ſimilem.
quare te neq; inſperata ſperare neq; quid latere.
cognoſces autem homines ſpontanea detrimenta habentes.
miſeri qui bona prope cum ſint neq; uident
neq; audiunt. ſolutionem aũt malorum pauci norunt.
talis fortuna mortalium lædit mentes. ſed rotis
ex aliis in alia feruntur. infinita nocumenta habentes.
difficilis. n. comes lis nocens latet
inſita. quam non oportet adducere. uenientem uero fugere.

Ζεῦ πάτερ, ἢ πολλῶν τε κακῶν τε λύσει ἅπαντ'
ἢ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν.
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω.
ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν ἔν τε καθαρμοῖς
ἔν τε λύσει ψυχῆς κρίνων. καὶ φράζευ ἕκαστα.
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεὸς ἄμβροτος οὐκ ἔτι θνητός.

ΤΕΛΟΣ τῶν χρυσῶν ἐπῶν τοῦ πυθαγόρου.

ΣΤΙΧΟΙ ΕΙΣ ΤΟΝ ΦΩΚΥΛΙΔΗΝ.

Ὁ Φωκυλίδης ὁ εὐπρεπῆ ζήσας βίον.
ὡς χριστομύστης ὡς ἀπόστολος μέγας
ὡς ἀκροατὴς τῶν θεοῦ θεσπισμάτων
καὶ μυσταγωγὸς τῶν ἀρίστων πρακτέων
εὐαγγελικῶς ταῦτα λαλεῖ καὶ γράφει.
ὤνησα τυγχάνοντα τοῖς ἐν τῷ βίῳ.

ΕΙΣ ΤΟΝ ΑΥΤΟΝ ἕτεροι

ΤΑΥΤΑ δίκης ὁσίῃσι θεοῦ βουλεύματα φαίνει
Φωκυλίδης ἀνδρῶν ὁ σοφώτατος ὄλβια δῶρα.

ΦΩΚΥΛΙΔΟΥ ποίημα νουθετικόν.

ΜΗΤΕ γαμοκλοπέειν μὴ τ' ἄρσενα κύπριν ὀρίν'

Iupr̃ pater uel multis malis liberes omnes.
Vel omnibus ostendas qua sorte utantur.
Sed tu confide postquã diuinum genus est mortalibus.
Quibus sacra afferens natura ostendit singula.
Quorum si tibi quid affuerit uinces quæ te iubeo.
Cum curaueris. animam autem laboribus ab istis liberabis.
sed abstine ciborumquos diximus inq; purgationibus
inq; liberatione animi diiudicans & cosidera singula
aurigam iudicium cum posueris super optimum.
Si autem cum reliqueriscorpus ad æthera purum uenies
Eris immortalisdeus:incorruptibilis:non amplius mortalis:

Finis aureorum Carminum Pythagoræ.

VERSVS IN PHOCYLIDEM.

PHOcylides decentem uiuens uitam.
Vt sacris initiarus:ut apostolus magnus.
Vt auditor Dei uaticiniorum.
Et Antistes optimorum operum.
Euangelice hæc dicit & scribit.
Vtilia quæ sunt iis qui in uita.

INEVNDEM ALTERI.

Hæc iudiciis diuinis Dei consilia declarat
Phocylides uirorum sapientissimus.ditia dona.

PHOcylidis poema admonitorium

Neq; sis adulter.neq; masculam uenerem excita.

μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
ἀρκεῖσθαι παρεοῦσι. καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πᾶσι δίκαια νέμειν μὴ δὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψῃς πενίην ἀδίκως μὴ κρῖνε πρόσωπον.
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσει.
μαρτυρίην ψευδῆ φεύγειν. τὰ δίκαια ἀγορεύειν.
παρθενίην τηρεῖν, πίστιν δ' ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπὶ μέτρον ἅπασι.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
μήτ' ἐπιορκήσῃς μήτ' ἀγνῶς, μήτε ἑκόντι.
ψεύδορκον στυγέει θεὸς ἄβροτος ὅστις ὀμόσσῃ.
σπέρματα μὴ κλέπτειν. ἐπαράσιμος ὅστις ἀρεῖτ.
μισθὸν μοχθήσαντι δίδου. μὴ θλῖβε πένητα.
γλῶσσαν νοῦν ἔχεμ. κρυπτὸν λόγον ἐν φρεσὶ ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' οὖν ἀδικοῦντα ἐάσῃς.
πτωχῷ δ' εὐθὺς δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
πληρώσας σέο χεῖρ' ἔλεον χρῄζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα.
κοινὰ πάθη πάντων, ὁ βίος τροχὸς, ἄστατος ὄλβος.

neq; fraudes innecte. neq; sanguine manus pollue.
nec diteris iniuste. sed ex iustis uiue.
Contentus sis præsentibus. & alienis abstine.
Mendacia ne dicas. sed uera omnia loquere.
PRI mum deum cole. deinde tuos parentes:
Omnibus iusta tribue nec iudicium adgratiam trahe
Ne spernas paupertatem. iniuste ne iudices faciem
Si tu male iudicaueris. te deus postea iudicabit
Testimonium falsum fuge. iusta loquere.
Virginitatem custodi. fidem uero in omnibus serua.
mensuras tribue iustas. bona autem mensura in omnibus.
Bilancem ne feri in altero iugo. sed æquam trahe.
Neq; peieres neq; insicienter neq; sponte.
Peieratorem odit deus immortalis quicunq; iurauerit.
Semina non furare. execratus qui sumit.
Mercedem laboranti da. ne preme pauperem.
linguam itaq; compesce. absconditum uerbũ in mẽte tene.
neq; iniustũ facere uelis. neq; igitur iniustitiã facientẽ sinas.
mendico statim da. neq; ctas uenire dicas.
Cũ impleueris tuas manus. misericordiam indigenti præbe.
Qui sine tecto est in domum suscipe. & cæcum duc.
Naufragorum miserere. quoiam nauigatio est incerta
Manum cadenti da. salua uero derelictnm uirum.
Cõmunes passiões oium. Vita trhocus ẽ. instabiles diuitiæ.

πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσι ὄρεξον.
ὧν σοι ἔδωκε θεὸς τούτων χρήζουσι παράσχου·
ἔστω κοινὸς ἅπ ὁ βίος καὶ ὁμόφρονα πάντα.
τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν
εἴθε δὲ μὴ χρήζοις μήτ' ἔννομα μήτε ἀδίκως.
ἢν γὰρ ἀποκτείνῃς ἐχθρὸν σέο χεῖρα μιαίνεις.
ἀγροῦ γειτνεύοντος ἀπόσχο μὴ δ' ἄρ' ὑπερβῇς,
πάντων μέτρον ἄριστον ὑπερβασίαι δ' ἀλεγειναί.
μηδὲ τιν' αὐξόμενον καρπὸν λωβήσῃς ἀρούρης.
ἔστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις.
πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου
χώρης δ' οὔτι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.
ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
χρυσὲ κακῶν ἀρχηγὲ βιοφθόρε πάντα χαλέπτων
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν
σοῦ γὰρ ἕκητι μάχαι τε λεηλασίαι τε φόνοι τε
ἐχθρὰ δὲ τέκνα γονεῦσιν. ἀδελφειοί τε συναίμοις.
μηδ' ἕτερον κεύθῃς κραδίῃ νόον. ἄλλ' ἀγορεύων
μηδ' ὡς πετροφυής. πολύπους κατὰ χῶρον ἀμείβου.
ὅς τις ἑκὼν ἀδικεῖ. κακὸς ἀνήρ. ἂν δ' ὑπ' ἀνάγκης
οὐκ ἐρέω τὸ τέλος. βουλὴν δ' εὐθύνει ἑκάστου.
μὴ γαυροῦ σοφίῃ. μήτ' ἀλκῇ. μήτ' ἐνὶ πλούτῳ.
εἷς θεός ἐστι σοφός. δυνατός, ἅμα καὶ πολύολβος

Diuitias habens tuam manum egenis oſtende.
quæ tibi dedit deus ex iis indigentibus præbe:
ſit communis.omnis uita.& concordia omnia.
enſem accinge non ad cædem ſed ad defenſionem.
utinam autem non egeas neq; iuſte neq; iniuſte.
ſi.n. occideris inimicum tuum. manum polluis.
agro uicino abſtine.neq; ſupergrediaris.
omnium moderatio optima.prætergreſſiones malæ.
neq; ullum creſcentem fructum lædas terræ aratæ.
ſint eiuſdem honoris aduēnæ inter ciues.
omnes enim paupertatem experimur erraraficam.
regio uero nullum firmum habet ſolum hominibus.
Auaritia mater malitiæ uniuerſæ.
Aurum ſemper dolus eſt & argentum hominibus.
O aurum malorū princeps.uitæ deſtructor oīa difficilitās.
o utinam te non mortalibus natum nocumentum amabile.
tui.n.cauſa pugnæq; prædæq; cædesq;.
inimici uero filii parentibus.fratresq; germanis fratribus.
ne alterum cæles corde intellectum.alia dicens.
neq; ſis ſicut petrhæreſius polypus. per regionē muteris.
qui uolens iniuſte agit.malus uir. ſed ſub neceſſitate
non dicam finem.conſilium dirige cuiuſq;.
neq; ſuperbi ſapientia neq; robore neq; in diuitiis.
unus deus eſt ſapiens fortis ſimul & prædiues.

C

μηδὲ παροιχομένοισι κακοῖς ξύγχου τεὸν ἦτορ·
οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
μὴ προπετὴς ἐς χεῖρα. χαλίνου δ' ἄγριον ὀργήν.
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσε.
ἔστω κοινὰ πάθη. μηδὲν μέγα μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.
ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας.
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος καὶ ἐς ὕβριν ἀέξει.
θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ μῆνις.
ζῆλος τῶν ἀγαθῶν ἐσθλός, φαύλων δ' ὑπέρογκος.
τόλμα κακῶν ὀλοή, μέγ' ὀφέλλει δ' ἐσθλὰ πονοῦντα.
σεμνὸς ἔρως ἀρετῆς. ὁ δὲ κύπριδος αἶσχος ὀφέλλει.
ἡδὺς ἄγαν ἀνόφρων κικλήσκεται ἐν πολιήταις.
μέτρῳ ἔδειν, μέτρῳ δὲ πιεῖν, καὶ μυθολογεύειν.
πάντων μέτρον ἄριστον. ὑπερβασίη δ' ἀλεγεινή.
μὴ φθονέοις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς.
ἄφθονοι οὐρανίδαι, καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς.
οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα.
οὐ ποταμοὶ πελάγεσσιν ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην οὐκ ἂν πόλος ἔστη.
σωφροσύνην δ' ἀσκεῖν. αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, δίκῃ δ' ἀπάλειψαι ἀμυνάν.

Neq; præteritis malis consume tuum cor.
non amplius.n.potest factum esse infectum.
ne preceps in manum frena uero asperam iram.
sæpe uero percutiens nolens necem perfecisti.
sint communes passiones. non magnum neq; superbum
non bonum abundans est mortalibus utilitas.
multa.n. uoluptas ad immoderatos trahitur amores.
superbire faciunt uero multæ diuitiæ. & ad iniuriam aūgēt.
furor subfluens insaniam exitialem parat
ira uero est appetitus.superans uero ira permanens.
æmulatio bonorum bona malorum uero laboriosa.
audacia maloꝝ pniciosa multū.auget uero bona laborātes
castus amor uirtutis: sed ueneris dedecus auget.
dulcis iucundus uacatur inter ciues.
mensura comede quidem mensuraq; bibe & fabulare
omnium mensura optima.supergressio autem mala.
ne inuideas bona sociis ne conuitium accendas.
sine inuidia cœlestes.& inuicem pollent
non inuidet luna multo melioribus solis radiis:
non terra cœlestibus sublimitatibus infra ens.
non flumina pelagis.semper autem concordiam habent.
si.n.discordia deis beatis esset nunq̄ polus staret.
castitatem uero exerce.malis uero operibus abstine:
ne imitare malitiam iustitia uero dele uindictam.

πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.
καλὸν ξενίζειν ταχέως λιταῖσι τραπέζαις.
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω·
μητέρα δ' ἐκπρολίπῃς ἵν' ἔχῃς πάλι τῆσδε νεοττούς.
μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνας δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν.
οὐ γὰρ δὴ νοέουσι οἳ μηδέποτ' ἐσθλὰ μαθόντες.
μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι.
καιρὸν θωπεύοντες ἐπὴν κορέσασθαι ἔχωσιν.
ἀχθόμενοι δ' ὀλίγοις, καὶ πολλοῖς πάντες ἄπληστοι.
λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.
λαὸς καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθῃς φίλον ἦτορ
μέτρα δὲ τεῦχε θεοῖσι. τὸ γὰρ μέσον ἐστὶν ἄριστον
γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσι.
μὴ τύμβον φθιμένων ἀνορύξῃς, μὴ δ' ἀθέατα.
δείξῃς ἠελίῳ, καὶ δαιμόνιον χόλον ὄρσῃς.
οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο.

Persuasio quidem enim utilitatem lis uero litem repululat:
ne crede citissime antequam uere finem uideas.
uincere bene operantes in pluribus oportet.
bonum hospitare potius mensis uilibus
quam copiosis plurimis dolis morantibus præter tempus.
nunquam mutuator amarus fias uiro pauperi.
neq; quis aues nidi simul omnes sumat.
matrem uero relinquas: ut habeas rursus ipsius pullos.
nunquam iudicare imperitos uiros sinas.
sapientiam sapiens dirigit: artes uero coartifex.
non est capax magnam doctrinam imperitus audire.
non. n. intelligunt qui nunquam bona didicerunt.
neq; parasitos assentatores fac sotios.
multi. n. potus & cibi sunt amici.
tempori assentantes ut satiari possint.
dolentes uero paucis. & multis omnes inexpleti.
populo ne crede. mutabilis est turba.
populus & aqua: & ignis. irretentibilia omnia.
neq; frustra apud ignem sedens diminuas carum cor.
mensuram uero fac deis. mensura. n. est optima.
terram impertire insepultis mortuis.
ne tumulum mortuorum refodias. neq; non uidenda
ostendas soli. & dæmoniacam iram excites
non bonum compositionem resoluere hominis.

καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν.
λείψαν' ἀποιχομένων, ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήρεοι ἐν φθιμένοισι.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών.
σῶμα γὰρ ἐκ γαίης ἔχομεν καὶ πάντες ἐς αὐτήν.
λυόμενοι κόνις ἐσμέν, ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
πλούτου μὴ φείδου μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
οὐκ ἔρ' ἐς ἅδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι,
πάντες ἴσοι νέκυες. ψυχῶν δὲ θεὸς βασιλεύει.
Κοινὰ μέλαθρα δόμων αἰώνια καὶ πατρὶς ἅδης.
ξυνὸς χῶρος ἅπασι πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον. ἀλλ' ἐπὶ καιρόν:
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.
μήτε κακοῖς ἄχθου μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
πολλάκις ἐν βιότῳ (ἐ) θαρσαλέοισιν ἄπιστον.
καιρῷ λατρεύειν μὴ δ' ἀντιπνέειν ἀνέμοισι.
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθ' ἄφνω.
μὴ μεγαληγορίῃ ξυνφῶν, φρένα λυσσωθείης.
εὐεπίην ἀσκεῖν, ἥτις μάλα πάντας ὀνήσει.
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστῳ νεῖμε θεός, φύσιν ἠεροφοίτοις.
ὄρνισι μὲν πολλὴν ταχυτῆτ' ἀλκὴν τε λέουσι,
ταύροις δ' αὖ τ' αὐτοῖς κεράεσσι, κέντρα μελίσσαις
ἔμφυτον ἀλκὴν δῶκε. λόγος δ' ἔρυμ' ἀνθρώποισι.

Et celeriter autem ex terra ſperamus in lucem uenire.
reliquiæ defunctorum poſtea uero dei ſunt.
animæ.n.manent incorruptibiles in mortuis.
ſpiritus.n. eſt dei uſus mortalibus & imago.
corpus.n. ex terra habemus.& omnes ad ipſam.
ſoluti puluis ſumus.aer uero iterum ſpiritum aſſumit.
pecuniis ne parcas.memento ꝙ mortalis es.
non licet apud Plutonem diuitias habere. pecuniaſq; ferre.
omnes æquales mortui.animis uero deus dominatur.
communia palatia domorum. æterna. & patria infernus.
communis locus omnibus pauperibusq; & regibus.
non multum homines uiuimus tempus. ſed in tempus.
anima uero immortalis & inſeneſcibilis uiuit ſemper.
neq; malis doleas.neq; igitur lætare gaudio.
ſæpe in uita & ſperantibus infidum.
tempori ſerui ne contrafla uentis.
uulnus dolentibus & mali ſolutio uenit cito.
ne magniloquentia laſciuiens mentem debaccheris.
bonam locutionem ſerua quæ ualde omnes iuuabit.
arma ſermo uiro acutiora ſunt ferro.
arma cuiq; tribuit deus naturam aeriuolam.
auibus quidem multam uelocitatem.roburq; leonibus.
tauris uero cornibus perſe fuſis. aculeos apibus
naturale adiutoriū dedit.ratio uero ꝓpugnaculū hominib9.

Τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγροὺς καὶ πόλιας σοφία, καὶ νῆα κυβερνᾷ.
οὐ χρεῖον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἄτιτον
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.
φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην.
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος καὶ ὁ κλέψας.
μοῖραν πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.
ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδευής.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἔλησαι.
κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ καθ' ὁδόν, συνέγειρον.
πλαζόμενόν τε βροτὸν καὶ ἀλιτρόπον μηδ' ὑπαλύξῃς
βέλτερον ἀντ' ἐχθροῦ τυχεῖν φίλον εὐμενέοντος.
ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
μηδέ τι θηριοβόρον δαίσῃ κρέας, ἀργίποσιν δὲ
λείψανα λεῖπε κυσί, θηρῶν ἀπὸ θῆρες ἔδονται.
φάρμακα μὴ τεῦχε, μαγικῶν βίβλων ἀπέχεσθαι.
νηπιάχοις ἁπαλοῖς μὴ μάρψῃ χεῖρα βιαίως.
φεῦγε διχοστασίην καὶ ἔριν πολέμου προσιόντος.
μὴ κακὸν εὖ ἔρξῃς, σπείρειν ἴσον ἐστὶ πόντῳ.
ἐργάζευ μοχθῶν, ὡς ἐξ ἰδίων βιοτεύσῃς.
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης
ἀλλ' ἀπὸ τῶν οἰκείων βιότων φάγοις ἀνύβριστος.

a deo inſpiratæ autem ſapientiæ ratio eſt optima.
melior forti eſt ſapiens uir:
agros & urbes ſapientia & nauem gubernat:
non iuſtum abſcondere iniuſtum uirum inhonoratū.
ſed oportet malum operatorem fugere neceſſario:
ſæpe commoriuntur malis qui cum eis ſunt.
furum ne accipias furtum uirorum depoſitum.
utriq; fures & accipiens & furans.
partem omnibus tribue.æqualitas uero omnibus optima:
dominans parce omnibus.ne tandem indigeas.
ne iumenti mortui cibum ad menſuram ſume.
iumentum uero ſi inimici cadat per uiam colleua.
errantemq; hominem & mari uexatum ne deuites.
melius pro inimico adipiſci amicum proprium.
incipiens malum abſcinde.ulcuſq; ſana.
neq; feralem edas carnem.uelocipedibus uero
reliquias linq; canibus. a feris feræ edantur
uenena ne ſtrue. magicis libris abſtine.
pueris tenellis ne capias manum uiolenter.
fuge diſcordiam & litem belli aduenientis.
ne malo benefeceris.ſeminare æquale eſt in ponto.
operare laborans ut ex propriis uiuas.
omnis.n.iners uir uiuit furtiuis a manibus.
neq; alius ex epulis edas reliquias menſæ.
ſed ex domeſticis uictibus comedas abſq; iniuria.

εἰ δέ τις οὐ δεδάηκε τέχνην σκάπτοιτο δικέλλῃ.
ἔστι βίῳ πᾶν ἔργον ἐπὰν μοχθεῖν ἐθέλῃσθα.
ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα.
εἰ δ' ἐθέλεις γεωπονίην μεθέπειν μακραί τοι ἄρουραι·
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον.
οὐδ' αὐτοῖς μακάρεσσι. πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες γαίης μυχάτους προλελοιπότες οἴκους.
ἔρχονται βιότοιο κεχρημένοι ὁππότ' ἄρουραι
λήια κειράμεναι καρπῶν πλήθουσιν ἀλωάς.
οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν
ἢ κριθῶν. αἰεὶ δὲ φέρων φορέοντα διώκει.
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες.
ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
κάμνει δ' ἠεροφοῖτος, ἀριστοπόνος τε μέλισσα.
ἢ πέτρης κοίλης κατὰ χηραμὸν ἢ δονάκεσσιν.
ἢ δρυὸς ὠγυγίης κατὰ κοίλαδος ἔνδοθι σίμβλων.
σμήνεσι μυριότρητα κατ' ἄνθεα κηροδομοῦσα.
μὴ μείνῃς ἄγαμος, μήπως νώνυμος ὄληαι.
δὸς τι φύσει καὐτός. τέκε δ' ἔμπαλιν ὡς ἐλοχεύθης.
μὴ προαγωγεύσῃς ἄλοχον, σέο τέκνα μιαίνων.
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυιῆς μὴ ψαύετε δεύτερα τέκνα γονῆος.
μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μηδ' ἐπὶ παλλακίσι πατρὸς λεχέεσσι μιγείης.

ſi uero quis non didicit artem fodiat ligone.
eſt uitæ omne opus cum laborare uelis.
nauta ſi nauigare uelis.latum mare.
ſi uero terram colere quæris.longa arua.
nullum ſine labore eſt uiris facile opus.
neq; ipſis beatis.labor autem uirtutem ualde auget:
formicæ terræ reconditas relinquentes domos
ueniunt uictus egentes quando agri
fruges attonſi fructibus implent areas.
neq; ipſæ tritici nouitritum pondus habent.
aut ordeorum.ſemper uero ferens ferentem ſectatur.
ex æſtate uſq; hyemem cibum ſuum auferentes.
infatigabile genus autem paruum eſt multum laborans.
laborat.n.aeriuola optimiq; laboris apis.
aut petræ curuæ per cauernam uel calamis
aut quercus ogygiæ inſulæ in concauo intra aluearia
examinibus odoriferos ſuper flores cæridomifica.
ne maneas celebs ne ſine memoria pereas.
da aliquid naturæ & ipſe.gigne uero iterũ ſicut genitus es.
ne lenocineris uxorem. tuos filios polluens.
non enim pariunt filios ſimiles mœchica cubilia.
nouercæ ne tange ſecunda cubilia patris.
matrem uero ſicut honora matris ueſtigia uadentem.
ne ſororis in turpe ueni cubile.
neq; in pellicibus patris cubilibus miſceas.

μὴ δὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός.
μὴ δὲ τεκοῦσα κυσὶ ῥίψῃ, καὶ γυψὶν ἕλωρα.
μὴ δέ τις ἢ ἀλόχῳ ἐγκύμονι χεῖρα βάλῃται:
οὐδ' ἄυτοῖς θηρέσσ' ἄρσην συνέβαλεν ἐς εὐνήν.
μὴ δ' αὖ παιδογόνον ποτὲ τέμνειν ἄρσενα κοῦρον.
μὴ δ' ἀλόγοισι ζώοις βατήριον εἰς λέχος ἐλθεῖν.
μὴ δ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς λεχέεσσι.
μὴ παραβῇς εὐνὰς φύσεως εἰς κύπριν ἄθεσμον.
μὴ δέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
μὴ δ' ἐς ἔρωτα γυναικῶν ἅπας ῥύσῃς ἀκάθεκτον.
οὐ γὰρ ἔρως θεός ἐστι· πάθος δ' ἀΐδηλον ἁπάντων.
μὴ δὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
στέργε τεὴν ἄλοχον. τί γὰρ ἡδύτερον καὶ ἄρειον
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι.
καὶ πόσις ἧ ἀλόχῳ μὴ δ' ἐμπέσῃ ἄνδιχα νεῖκος.
μὴ δέ τις ἀμνήστευτα βίῃ κούρῃ μιγείη.
μὴ δὲ γυναῖκα κακὴν σοῖσιν οἴκοισιν ἄγεσθαι.
λατρεύεις δ' ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
ἵππους δ' εὐγενέας διζέσθαι μὲν κατὰ οἶκον
ταύρους δ' ὑψιτένοντας. ἀτὰρ σκυλάκων πανάγεις.
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες.
οὐ δὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνειὸν ὄντα.
μὴ δὲ γάμῳ γάμον ἄλλον ἄγῃς ἐπὶ πήματι πῆμα.
παισὶ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἴσθι.

Neqꝫ uxor corrumpat infantẽ embryonem intra uẽtrem.
neque cũ pepererit canibus iaciat & gryphib⁹ dilaniationẽ:
neque quis propriæ mulieri prægnanti manum iniiciat.
non ipsis feris masculus complacuit ad coitum.
neque rursus filii genã quandoque seca masculum puerum.
neque brutis animalibus ascensorium ad cubile ueni.
neque iniuria afficias mulierẽ erubescentibus cubilibus
neque trãseas cubilia naturæ inuenerem iniquam.
neque fœminæ cubile uiri imitentur.
neque in amorem mulieris omnis ruas incõtinentem.
nõ.n. amor deus est.passio uero corruptrix omnium.
neque autem fratrum uxorum super strata accẽde.
ama tuam uxorem quid.n.iucũdius & meli⁹?
quam cum uiro mulier sapit cara senectam usque?
et maritus propriæ uxori? neque cadat in medio discordia.
neque autem quis illicita uiolentia puellæ permisceat
neque uxorem malam tuis domibus induc.
seruis uero uxori sæuæ gratia causa dotis.
equos generosos inquire quidem in domum.
tauros uero alticeruices. sed catulos omnino agrestes.
ducere uero non bonam contemnimus desipientes.
neque mulier malum uirum renuit si diues sit.
neque nuptiis nuptias alias ducas in uulnera uulnus.
filiis ne difficilis sis. sed mitis esto.

ἢν δ' ἔτι παῖς ἀλιτῇ, κωλυέτω ἱερὰ μήτηρ.
ἢ καὶ πρεσβύτατοι γενεῆς ἢ δημογέροντες.
μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκαμῖδος χαίτην.
μὴ κορυφὴν πλέξῃς. μηθ' ἅμματα λοξὰ κορύμβων.
ἄρσεσιν οὐκ ἐπέοικε κομᾶν. χλιδαὶ δὲ γυναιξί.
παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην.
πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι.
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσῃς.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσι.
συγγενέσι φιλότητα νέμοις, ὁσίην θ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους. εἴκειν δὲ γέρουσιν.
ἕδρης καὶ γεράων πάντων, γενεῇ δ' ἀτάλαντον.
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖς γέραιρε.
γαστρὸς ὀφειλόμενον δασμὸν παρέχειν θεράπουσι
δούλῳ τακτὰ νέμοις. ἵνα τοι καταθύμιος εἴη.
στίγματα μὴ γράψῃς. ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς τι κακηγορέων πρὸς ἄνακτα.
λάμβανε καὶ βουλὴν παρ' οἰκέτου εὖ φρονέοντος.
ἁγνεῖαι ψυχῆς, οὐ σώματός εἰσι καθαρμοί.
ΤΑῦτα δικαιοσύνης μυστήρια, οἷα βιοῦντες.
ζωὴν ἐκτελέοι τἀγαθὴν μέχρι γήραος οὐδῷ.

ΤΕΛΟΣ σὺν θεῷ τοῦ φωκυλίδου ἐπῶν

Si uero quidem puer peccet prohibeat filium mater
uel ualde senes generis aut populisenes:
nequidem in masculo filio nutri flexuram in crine.
ne uerticem plices nec uittas tortuosas corymborum.
masculos non decent comæ.delitiæ uero mulieres
pueri pulchri custodi iuuenilem horam.
multi.n. insaniunt ad masculam mistionem amoris.
uirginem autem custodi multiclauibus thalamis.
neq; ipsam usq; ad nuptias ante domos cōspici sinas.
pulchritudo difficilis custoditu est filiorum parentibus.
cognatis amorem tribuas & sanctam concordiam.
uerere canitempores.cede uero senibus
a sede & honoribus omnibus.ætati uero similem
senem coætaneum patris æquis honoribus uenerare.
uentris debitam portionem præbe seruis
seruo ordinata tribuas ut tibi ex animo placens sit.
stigmata ne scribas inhonorans seruum.
seruum ne lædas quid accusans apud dominum.
accipe & consilium a domestico bene sapiente.
castitates animæ tuæ.corporis sunt purificationes.
hæc iustitiæ mysteria talia degentes
uitam perficite bonam usq; adsenectutis limen.

FINIS cum deo Phocylidæ Carminum.

Habetis ingenui Adolescentes & studiosi bonarum litterarũ quæ uobis in frõte libri sum pollicitus, superest ut nobis habeatis q plurimã gratiam, quã tñ uel cumulatissime relatam existimabo, si emeritis sine cũctatione lucubratiões nostras. Quod si (ut spero) facietis erit uobis duplex bonum quod & nunc discetis rudiméta litteraꝶ græcarũ, & facietis me posthac ad cætera his multo maiora dignioraque edenda alacriorem.

VALETE. VENETIIS. M.
CCCC. LXXXXV.
OCTAVO
MARTII.



Sunt omnes quaterni usque ad s duernum
Tres item reliqui quaterni.

